3. *τιμωρίαν. καὶ τοῦτο ἐκαλεῖτο ἀνδροληψία καὶ οὐδετέρως ἀνδρολήψιον:*— Verba *καὶ οὐδετέρως ἀνδρολήψιον* om. Suidas. 5. *Ἄνδρων* (sic Suidas: *ἀνδρῶν* E.T.) *εἷς ἦν τῶν υ':*— 9. ΤΟΥ͂ΤΟΝ om. E T., habet D. ΑΥ̓ΤΗ͂Ι] *αὐτήν* Suidas, sed *αὐτῇ* Seg. p. 397, 3, ut E.T. Pronomen om. D. 10. *Δημοσθένης—αὐτῇ*] *τοῦτο τὸ χωρίον Δημοσθένης μὲν ἐν τῷ κατ' Ἀνδροτίωνος εἶπεν. διττὴ δὲ φέρεται ἡ γραφή, ἡ μὲν ὡς προγέγραπται, ἡ δὲ ἀντὶ τοῦ αὐτῇ* (*αὐτὴ* D.) *αὐτὴν λέγει κατ' αἰτιατικήν. καὶ ἡ μὲν κατ' αἰτιατικὴν προαγομένη τοιοῦτον ἔχει τὸν νοῦν, ἀνελοῦσα τοῦτον τὸν νόμον, ἤτοι παραβᾶσα, διαχειροτονίαν* (*διὰ χειροτονίας* D.) *περὶ ἑαυτῆς ἔδωκεν* (in *ἐδόκουν* corruptum in Seg. p. 397, 9.) *ὅτι χρὴ στεφανοῦν αὐτήν· ἡ δὲ κατὰ δοτικὴν, ἀνελοῦσα τοῦτον τὸν νόμον ἐχειροτόνησεν ἐκεῖνον ἑαυτῇ* (*ἐν ἑαυτῇ* D.). Ex *ἑαυτῇ* manifestum est in præcedentibus *αὐτῇ* in *αὑτῇ* esse mutandum.

1. *ἠνεχύραζον* ex Epitome pro *ἐνεχύραζον*.

3. *Δημοσθένης*] p. 647, 24. 26. et *ἀνδρολήψιον* p. 648, 10. 692, 22.

5. *τῇ* C. Legebatur *τῷ*.

— *γραφὴν ἀπολογίᾳ*] Legebatur *ἀντεγραφὴν*, quod om. A. De vera orationis inscriptione, quam restituit Sauppius Fragm. Orat. p. 139, constat sex aliis e locis Harpocrationis.

6. *ε'*] Legebatur *θ'*, quod *θ*ω scriptum in C.F., *τῇ ἐννάτῃ* in Ald. " In nono libro, in quo Craterus " non decreta, sed civitatum Athe" niensibus tributariarum catalo" gum exhibuerat, hæc legi non " potuerunt, ac cum ea quæ circa " olympiadem 80. acta sunt ex " libro quarto afferantur, non im" probabile videri potest Andronis " psephisma de Antiphonte (o" lymp. 92, 2.) libro quinto rela" tum fuisse. Itaque scribendum " *ἐν ε' τῶν Ψηφισμάτων*. Ceterum " totum psephisma ex Cæcilio ap" posuit Plutarchus Vit. dec. orat. " p. 833 E." MEINEK. ad Steph. Byz. p. 719.

7. *περὶ*] *περὶ τοῦ* B.C.

8. *υ'*] *δ* B.C.

9. ἈΝΕΛΟΥ͂ΣΑ—] Hanc glossam duasque proximas om. C.

— ΓἈΡ om. B.

—ΑΥ̓ΤΗ͂Ι] *αὐτή* A.F. *αὐτῇ τὴν* N.

10. *Δημοσθένης*] p. 669, 23.

11. *ἐλλιπῶς* N. Ceteri *ἐλλειπῶς*.

— *Ἀττικιανοῖς*] Libri *Ἀττικοῖς*. Correxit Hemsterh. apud Dobr. ad Phot. p. 740. ex aliis Harpocrationis locis in quibus apographa *Ἀττικιανὰ* memorantur, de quibus dixi in Præfat. ad Demosth. vol. 1. p. iii. ed. Oxon.

ἣν γραφὴ, ἡ μὲν οὕτως "ἀνελοῦσα γὰρ τὸν νόμον τοῦτον ἐχειροτόνησεν αὐτήν" ἀντὶ τοῦ παραβᾶσα γὰρ τοῦτον τὸν νόμον διαχειροτονίαν περὶ αὐτῆς ἔδωκεν, εἰ χρὴ στεφανοῦν αὐτὴν, ἡ δ' ἄλλη "ἀνελοῦσα γὰρ τὸν νόμον τοῦτον ἐχειροτόνησε λαβοῦσα ἐκεῖνον αὐτῇ."

Ἀνεμύτας: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. οὗτος τὸ γένος Θηβαῖος.

Ἀνεπόπτευτος: Ὑπερείδης ἐν τῷ ὑπὲρ Φρύνης. ὁ μὴ ἐποπτεύσας. τί δὲ τὸ ἐποπτεῦσαι, δηλοῖ Φιλόχορος ἐν τῇ ι'· "τὰ ἱερὰ οὗτος "ἀδικεῖ πάντα, τά τε μυστικὰ καὶ τὰ ἐποπτικά," καὶ πάλιν "Δη- "μητρίῳ μὲν οὖν ἴδιόν τι ἐγένετο παρὰ τοὺς ἄλλους τὸ μόνον μυηθῆ- "ναί τε ἅμα καὶ ἐποπτεῦσαι καὶ τοὺς χρόνους τῆς τελετῆς τοὺς "πατρίους μετακινηθῆναι."

Ἀνεσκευάσαντο: τὸ λεγόμενον ἐν τῷ βίῳ ἀναστατωθῆναι, τουτέστι τὸ ἀνασκευάσασθαι καὶ οἷον ἀπείπασθαι.

Ἄνετον: ἀντὶ τοῦ ἱερὸν καὶ ἀνειμένον θεῷ τινὶ Ὑπερείδης Δηλιακῷ.

5. ἈΝΕΜΥ'ΤΑΣ (ἀνεμῦτας, οἱ superscr., D.). Θηβαῖος τὸ γένος:— 7. ἈΝΕΠΟ'ΠΤΕΥΤΟΝ. τὸ μὴ ἐποπτεῦον. οὕτως Ὑπερίδης. τὸ δὲ ἐποπτεῦσαι δηλοῖ Φιλόχορος (φιλόχωρος E.T.) λέγων ἀδικεῖ πάντα τά τε E.T. Plenius in D. ἀνεπόπτευτον. ὑπερίδης ἐν τῷ ὑπὲρ Φρύνης. ἀνεπόπτευτος ὁ μὴ ἐποπτεύσας. τί δὲ τὸ ἐποπτεῦσαι δηλοῖ φιλόχορος ἐν τῇ ι', τὰ—τὰ μυστικὰ καὶ τὰ . . . πτικα. δημητρίῳ μὲν οὖν τι ἐγένετο ἴδιον . . παραλλήλους τὸν νόμον—ἐποπτεῦσαι καὶ . . . . ους τῆς τελετῆς—μετακι . . θῆναι:—(spatia vacua punctis notavi.) 10. γέγονεν. 11. τοὺς πατρίους χρόνους τῆς τελετῆς. 13. ἈΝΕΣΚΕΥΑ'ΣΑΝΤΟ (ἀνεσκευασᾶτο, ν superscr., T.) 13. τὸ—ἀνασκευάσασθαι] τὸ ἀναστάτους γενέσθαι. 14. καὶ οἷον om. D. in lacuna. 15. ἍΝΕΤΟΝ. Ὑπερίδης τὸ ἀνειμένον θεῷ ἱερόν:—

1. γραφὴ] ἡ γραφὴ B.N., quod fortasse legit Epitomator, qui dixit διττὴ φέρεται ἡ γραφή.

2. αὐτὴν] αὐτὴ A. αὐτοῦ B.

5. Legebatur Ἀνεμοίτας. Ἀνεμύτας restitui ex Epitome, quacum consentiunt Suidas, Seg. p. 307, 33. liberque unus Demosthenis p. 324, 17. ubi v. quæ annotavi.

— Δημοσθένης—Κτησιφῶντος post Θηβαῖος habet B. In F. est οὗτος τὸ γένος δόξης (i. e. Δημοσθένης: v. supra s. v. Ἀγνοῦς) ἐν τῷ ὑπὲρ κτ. Θηβαῖος.

7. Φρύνης] φύνης A.C. Ald. φήνης B.

7. ὁ μὴ] ὁ καὶ μὴ B.

10. μυηθῆναί τε ἅμα ex Epitome. Legebatur ἅμα μυηθῆναι.

13. ἀνεσκευάσαντο A.M.N. et cum Epitome Suidas et Seg. p. 398, 32. Legebatur ἀνεσκευάσατο. Locus ex quo gl. sumta est non exstat. ἀνασκευάζονται est apud Demosth. p. 1205, 2. ἀνασκευασθείσης p. 895, 5. ἀνεσκευασμένοις p. 1204, 26.

14. καὶ οἷον ἀπείπασθαι om. M.

15. τοῦ] τοῦ τὸ A.

— καὶ om. C.F.

— θεῷ τινὶ] τινι θεῷ C.

Ἀνεχαίτισε: Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς ἀντὶ τοῦ ἀνέκοψεν ἢ ἀνέτρεψεν, ἐκ μεταφορᾶς τῶν ἵππων.

Ἀνήκει: παρ' Ἀντιφῶντι Ἀληθείας α' ἀντὶ ἁπλοῦ τοῦ ἥκει, ἢ οἷον ἀνεβιβάσθη καὶ προελήλυθεν.

Ἄνθεια: ὅτι μὲν ἑταίρα δῆλον· μήποτε δὲ Ἄντεια γραπτέον διὰ τοῦ τ, ἐπεὶ οὕτως εὕρομεν παρὰ Λυσίᾳ.

Ἀνθεμόκριτος: Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα "τό τε βαλανεῖον τὸ παρ' Ἀνθεμοκρίτου ἀνδριάντα," τουτέστι πρὸς ταῖς Θριασίαις πύλαις. οὗτος ἦν Ἀθηναίων μὲν κῆρυξ, ὑπὸ Μεγαρέων δ' ἀπεσφάγη ἀπαγορεύων αὐτοῖς τὴν ἱερὰν ταῖν θεαῖν ὀργάδα μὴ ἐπεργάζεσθαι.

Ἀνθεμοῦς: πόλις Μακεδονική, καὶ οἱ ἀπ' αὐτῆς Ἀνθεμούντιοι.

1. ἈΝΕΧΑΙ'ΤΙΣΕΝ, omissis Δημ.—Φ. 2. ἐκ—ἵππων om. 3. ἈΝΗ'ΚΕΙ. Ἀντιφῶν ἀντὶ τοῦ ἥκει—προελήλυθεν:— Apud Suidam et Seg. p. 403, 5. in initio glossæ longioris aliunde sumtæ, ἀνήκει Ἀντιφῶν μὲν (μὲν om. Suid.) ἀντὶ τοῦ καθήκει, Ἀμειψίας δὲ etc.. 5. ἌΝΘΕΙΑ. ὄνομα ἑταίρας. τινὲς δὲ ἀντὶ τοῦ θ διὰ τοῦ τ (διὰ τοῦ τ om. Seg. p. 403, 27.) Ἄντεια (καὶ ἄντεια D.) γράφουσιν:— 7. ἈΝΘΕΜΟ'ΚΡΙΤΟΣ. Ἀθηναῖος μὲν ἦν κήρυξ, ἀπεσφάγη δὲ ὑπὸ Μεγαρέων—. 10. ταῖν θεαῖν om. ἐργάζεσθαι. 11. ἈΝΘΕΜΟΥ'Σ (ἀνθέμους E.T.) πόλις ἐστὶ Μακεδονική :—

1. Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς] Olynth. 2. p. 20, 27.

2. ἢ om. C.

— ἀνέτρεψεν] ἀνέστρεψεν B.C. ἀπέτρεψεν D.

3. ἀντὶ] ἀντὶ τοῦ B.C. Ald.

— ἥκει] Non recte καθήκει dixit Seg. p. 403, 5. exscriptus ab Suida.

5. ἌΝΘΕΙΑ—Ἄντεια] ἀνθία—ἄντια B.

— μήποτε δὲ Ἄντεια γραπτέον] Hæc Athenæi conjectura est 13. p. 586. qui allatis Lysiæ ex oratione contra Laidem verbis "Ψαμάθη "καὶ Λαγίσκα καὶ Ἄνθεια." pergit, μήποτε δὲ δεῖ γράφειν ἀντὶ τῆς Ἀνθείας Ἄντειαν· οὐ γὰρ εὑρίσκομεν παρ' οὐδενὶ Ἄνθειαν ἀναγεγραμμένην ἑταίραν. ἀπὸ δὲ Ἀντείας καὶ ὅλον δρᾶμα ἐπιγραφόμενον Εὐνίκου ἢ Φιλυλλίου Ἄντεια ἔστι. καὶ ὁ τὸν κατὰ Νεαίρας δὲ λόγον γράψας μνημονεύει αὐτῆς. "Didymus nisi fallor ad Lysiæ lo- "cum Ἄντειαν scribendum esse "Eunici Antiphanisque vel De- "mosthenis testimoniis confirma- "verat. Quæ vero Didymus scrip- "serat, vel Harpocratio vel librarii "turbarunt." SAUPP. Fragm. p. 195.

5. Ἄντεια] Sic legitur apud Demosth. quoque c. Neær. p. 1351, 14., nisi quod in libris pluribus ἀντίαν pro Ἄντειαν.

7. τό τε βαλανεῖον om. C., solum τό om. B. Ald.

8. ἀνδριάντα ante Ἀνθεμοκρίτου habet C., utrobique B.

— τουτέστι—πύλαις om. C.

— Θριασίαις] Libri θρασείαις. Correxit Valesius collato Plut. V. Periclis c. 30. De Anthemocrito dixit Sauppius ad Demosth. p. 34, 8. (vol. 5. p. 80. ed. Oxon.).

12. αὐτῆς] αὐτοῦ B.C.F.

ʽΑνθεστηριών: ὄγδοος μὴν οὗτος παρ' Ἀθηναίοις, ἱερὸς Διονύσου. ῎Ιστρος δὲ ἐν τοῖς τῆς συναγωγῆς κεκλῆσθαί φησιν αὐτὸν διὰ τὸ πλεῖστα τῶν ἐκ γῆς ἀνθεῖν τότε.

ʽΑνθώνη: Λυσίας ἐν τῇ πρὸς τὴν Ἀριστοδήμου γραφὴν, εἰ γνήσιος. πόλις τῆς Λακωνικῆς.

ʽΑνθυπώμοσαν: ἀντὶ τοῦ ὑπεῖπον τῇ ὑπωμοσίᾳ Δημοσθένης κατ' ʽΟλυμπιοδώρου.

ʽΑνίδρυτος: ἀντὶ τοῦ ἀνεξίλαστος Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος.

῎Ανοικος: ἀντὶ τοῦ ἀοίκητος Λυκοῦργος κατὰ Λυκόφρονος.

ʽΑντεπιτίθησιν: ἀντὶ τοῦ ἀντεπιστέλλει ʽΙσαῖος ἐν τῷ πρὸς Καλλιππίδην.

ʽΑντιάταις: τοῖς ἀπὸ Ἀντίου πόλεως, ἥτις ἀπέχει ʽΡώμης τ' σταδίους.

1. οὗτος] ἐστι Διονύσου. κεκλῆσθαι δὲ αὐτὸν οὕτω διά—. 2. διὰ—τότε] In Seg. p. 403, 32. interpolatum διὰ τὸ τὴν ἄνθην τοῦ βότρυος τούτῳ μάλιστα τῷ μηνὶ γίνεσθαι καὶ διὰ τὸ πλεῖστα τῶν ἐκ γῆς ἀνθεῖν τότε. Cum Epitome consentit Suidas. 4. De hac gl. Suidas nihil habet præter Ἀνθίνη πόλις in initio glossæ qua de adjectivo ἀνθινός exponit. Λ.—γνήσιος om. 6. 'ΑΝΘΥΠΟΜΟ'ΣΑΙ (in ἀνθυπομοσία corruptum ap. Suidam in Paris. A., in aliis in ἀνθυπωμοσία). ἀντὶ τοῦ ὑπειπεῖν τῇ ὑπωμοσίᾳ· οὕτω Δ.—'Ολυμπιοδώρου. In Seg. p. 404, 17. ἀνθυπώμοσα· ἀντὶ τοῦ ὑπ . . . ὑπωμοσία. οὕτω etc. 8. 'ΑΝΙ'ΔΡΥΤΟ. Δημ.—'Αριστ. ἀντὶ τοῦ ἀνεξίλαστο:— Sic etiam Seg. p. 405, 5. idemque Suidæ restituendum ubi hæc gl. cum alia ἀνίδρυτοι, ἀστήρικτοι coaluit, omisso lemmate ἀνίδρυτο mutatoque ἀνεξίλαστο in ἀνεξίλαστοι. 10. οὕτω Λυκοῦργος:— Totam gl. om. Suidas. 11. ἀντεπιστέλλει] ἐπιστέλλει Seg. p. 406, 30. οὕτως (οὕτως om. Suidas) 'Ισαῖος:— 13. 'ΑΝΤΙΑ'ΤΑΣ. τοὺς ἥτις] ἣ

1. ὄγδοος μὴν] ὁ η' μὴν N.

2. ἐν τοῖς τῆς Συναγωγῆς] ἐν τῷ ς' τῆς Συναγωγῆς Dobræus recte fortasse, quamvis incerto libri numero. Istrum ἐν α' et ιγ' Συναγωγῶν vel Ἀττικῶν Συναγωγῶν tribus aliis in locis citat Harpocratio.

3. γῆς] τῆς γῆς B.C.F.

4. Hanc gl. om. C.

— ἐν τῇ—γραφήν] Plena orationis inscriptio fuit πρὸς τὴν Ἀριστοδήμου γραφὴν διαμαρτυρία, ut constat ex Harpocr. s. v. διαμαρτυρία, qui duobus aliis in locis brevius citat ἐν τῷ πρὸς Ἀριστόδημον. Fortasse igitur hic quoque τῇ in τῷ mutandum potius quam διαμαρτυρία post γραφὴν addendum, quod voluit Sauppius Fragm. Orat. p. 177.

6. ὑπεῖπον] ἀπεῖπον B.C.G. ἀντεῖπον Bekkerus.

— Δημοσθένης] p. 1174, 4. ubi ἀνθυπωμόσαντο.

— κατ'] ἐν τῷ κατὰ B.

8. Δημοσθένης] p. 786, 10.

10. ῎ΑΝΟΙΚΟΣ Bekkerus in Indice. Libri ἄοικος.

13. ἈΝΤΙΑ'ΤΑΙΣ] Hanc gl. ad Dinarchi Τυρρηνικὸν, quam orationem Harpocratio aliquoties memoravit, pertinere conjecit Sauppius Fragm. p. 331. Nam Antia-

ʹΑντιβληθέντος: ἀντὶ τοῦ ὑπαγορευθέντος Δείναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγγελίᾳ.

ʹΑντιγενίδας: Λυσίας ἐν τῷ πρὸς Νίκαρχον τὸν αὐλητὴν, εἰ γνήσιος, υἱὸς οὗτος ἦν Διονυσίου, ἐνδοξότατος αὐλητής.

ʹΑντιγραφεῖς: ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα, ὥστε ἀντιγράφεσθαι ταῦτα· Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. διττοὶ δὲ ἦσαν ἀντιγραφεῖς, ὁ μὲν τῆς διοικήσεως, ὥς φησι Φιλόχορος, ὁ δὲ τῆς βουλῆς, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

ʹΑντιγραφή: ἰδίως μὲν ἐπὶ ταῖς τῶν κλήρων διαδικασίαις ἀντιγραφὴ καλεῖται, ὅταν τις ὡς ἄπαιδος ὄντος τοῦ τετελευτηκότος ἑαυτῷ φάσκῃ προσήκειν τὸν κλῆρον κατὰ γένος ἢ δόσιν. κοινῶς δ' ἐν ταῖς δίκαις ταῖς δημοσίαις καὶ ταῖς ἰδίαις τὰ τῶν δικαζομένων γράμματα, ἃ ἐδίδοσαν περὶ τοῦ πράγματος, καὶ τὰ τοῦ διώκοντος καὶ τὰ τοῦ φεύγοντος, ἀντιγραφὴ, καὶ τὰ μαρτύρια· Δημοσθένης κατὰ Στε-

1. ʹΑΝΤΙΒΛΗΘΕʹΝΤΟΣ. ἀντὶ τοῦ ὑπαγορευθέντος (—ας —ας Z.) Δείναρχος λέγει (γράφει D.):— 3. ʹΑΝΤΙΓΕΝΙʹΔΑΣ (ʹΑντιγενίδης Suidas) ἐνδοξότατος γέγονεν αὐλητὴς (ἀθλητὴς D.) υἱὸς Διονυσίου (Διονύσου Seg. p. 410, 1.):— 6. αὐτά. οὕτω Δημοσθένης 7. καὶ] ἀλλὰ καὶ κατὰ Κτ.] κατὰ om. D. διττοὶ] β E.T. δύο D. 8. ὥς φησι Φ. om. 9. βουλῆς:— 10. ʹΑΝΤΙΓΡΑΦΗʹ om. neque habet Suidas: habet Seg. p. 410, 7, sed omissis infra verbis ἐπὶ τῶν τοιούτων λέγεται ἡ ἀντιγραφή. ἀντιγραφὴ καλεῖται om. 12. κλῆρον. ἐπὶ τῶν τοιούτων (γὰρ male additum apud Suidam) λέγεται ἡ (ἡ om. Suidas) ἀντιγραφή. κοινῶς δὲ τὰ ἐν ταῖς δημοσίαις δίκαις τῶν δικαζομένων γράμματα. καὶ λέγεται ὁμοίως τά τε τοῦ διώκοντος καὶ τὰ τοῦ φεύγοντος ἀντιγραφή. λέγεται δὲ οὕτως καὶ τὰ μαρτύρια. Πλάτων μέντοι ἐν τῇ Σωκράτους ἀπολογίᾳ ἀντωμοσίαν καὶ ἀντιγραφὴν τὸ αὐτὸ λέγει:—

tes pariter atque Tyrrhenos illis temporibus piratica infames fuisse Strabo 5, 3, 5. tradidit.

1. ʹΑΝΤΙΒΛΗΘΕʹΝΤΟΣ — ὑπαγορευθέντος ex Epitome, cujus major quam codicum fides est, recepi pro ἀντιβληθέντας—ὑπαγορευθέντας. ὑπαγορεύειν autem significat *dictare*, *verba præire*, ut apud Demosthenem p. 219, 27. quem locum comparavit Sauppius Fragm. p. 328.

4. οὗτος ἦν A.B. Ald. ἦν οὗτος ceteri. De Antigenida dixit Meinek. Com. vol. 3. p. 187.

5. καταβαλλόντων] καταβαλόντων A.

4. τῇ π. χ.] χ. τῇ π. C.

6. Δημοσθένης] p. 615. Male autem hoc loco utitur Harpocratio. Ibi enim non de alterutro τῶν ἀντιγραφέων, quos Harpocratio dicit, agitur, sed de aliquo ex inferioris ordinis scribis. Monuit Boeckh. Œcon. polit. vol. 1. p. 261.

7. Αἰσχίνης] p. 57, 23.

11. ἑαυτῷ] ὡς αὐτῷ C.

12. γένος ἢ Valesius. Libri γένους.

13. καὶ ταῖς ἰδίαις addidit Schœmann. de lite Att. p. 629.

15. Δημοσθένης] p. 1115.

— κατὰ] ὑπὲρ τοῦ B.C. errore librarii de oratione pro corona cogitantis.

φάνου καὶ Ὑπερείδης. Πλάτων δὲ ἐν τῇ Σωκράτους ἀπολογίᾳ τὸ αὐτὸ καλεῖ ἀντωμοσίαν καὶ ἀντιγραφήν.

Ἀντίθεσις: Ἰσοκράτης Παναθηναϊκῷ. σχῆμα λέξεώς ἐστιν ἡ ἀντίθεσις, καθ' ἣν ἀντιτιθέασιν ἀλλήλοις τὰ ἐναντία ἤτοι κατὰ μέρος ἢ ἀθρόα. καὶ κατὰ μέρος μέν, ὡς Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος "ἐδίδασκες γράμματα, ἐγὼ δ' ἐφοίτων" καὶ τὰ ἑξῆς. ἀθρόως δὲ πάντων πρὸς πάντα, ὡς ὁ αὐτὸς Δημοσθένης ἐν τῷ κατὰ Μειδίου ἀπὸ τοῦ "ὁ μέν γε ὑπὸ φίλου" ἕως τοῦ "βαδίζειν χορηγοῦντι." λέγεται δὲ καὶ ἀντίθετον τὸ αὐτὸ σχῆμα, ὡς Αἰσχίνης ἐν τῇ περὶ τῆς πρεσβείας ἀπολογίᾳ.

Ἀντίκτρα: Λυσίας ἐν τῷ πρὸς Μέδοντα. μήποτ' ἐπώνυμόν ἐστιν. Ἀντιφάνης ἐν τῷ περὶ ἑταιρῶν φησὶν "Ἀντίκυραν δ' ἐκάλεσαν ὅτι "συνέπινε παρακινοῦσι καὶ μεμηνόσιν. οἱ δὲ ὅτι ἰατρὸς αὐτῇ Νικό"στρατος κατέλιπεν ἀποθνήσκων πολὺν ἐλλέβορον."

Ἀντιοχίς: ὄνομα φυλῆς.

Ἀντιφῶν: εἷς τῶν ι' ῥητόρων, Σωφίλου μὲν υἱός, ἀπὸ τοῦ δήμου δὲ Ῥαμνούσιος.

Ἀντίπατρος: Ἰολάου παῖς.

3. Ἰσ. Π. om. ἡ ἀντίθεσις om. ἤτοι] ἢ 5. ἀθρόα. οὕτως Ἰσοκράτης ἐν τῷ Παναθηναϊκῷ:— 11. ἈΝΤΙ'ΚΥΡΑ. ὄνομα χώρας (χωρίου Suidas: sed χώρας Seg. p. 410, 27.) τινός:— 16—18. om., nec legit Suidas, qui de Antiphonte quæ tradidit aliunde sumta esse patet.

1. ἐν τῇ Σωκράτους ἀπολογίᾳ] p. 27 c. ubi vid. schol.
3. Παναθηναϊκῷ] In initio.
— ἡ ἀντίθεσις om. B.C.F. cum Epitome.
5. ἀθρόα] ἀθρόον C.
— Δημοσθένης] p. 315, 7.
— ὑπὲρ] κατὰ C.
6. ἐδίδασκες] ἐδίδασκε A.B.F.
— δ' om. F.
— ἀθρόως Maussacus. ἀθρόον libri, nisi quod ἀθρόα N.
7. ὁ αὐτὸς] ὁ om. A.B.C.F.
— Δημοσθένης] p. 538.
8. φίλου ἕως Gronovius. φιλέως A.B.C.F.G. φυλέως N. γνωρίμου ἕως Ald., et γνωρίμου, non φίλου, legitur apud Demosthenem.
— τοῦ addidit Bekkerus.
9. δὲ om. B.C.F.
9. Αἰσχίνης] p. 28, 18.
— τῇ περὶ τῆς πρεσβείας] τῇ παραπρεσβείας C. τῇ περὶ τῆς παραπρεσβείας B. Ald.
11. ἐπώνυμόν ἐστιν] Sic tradit Athenæus 13. p. 586 f.
12. Ἀντιφάνης] Libri ἀριστοφάνης. Correxit Maussacus ex Athenæo.
— περὶ A. et Athenæus. Legebatur περὶ τῶν.
14. Post ἐλλέβορον excidisse videntur verba ἄλλο δὲ οὐδέν, quæ leguntur apud Athenæum.
16. τῶν ι'] τῶν ιβ' F.
— Σωφίλου] σοφίλου A. Ald. φιλοσόφου B.C.F.
— τοῦ δήμου Bekkerus. Legebatur τῆς φυλῆς. V. quæ s. v. Ἀγνοῦς diximus.
18. Hanc gl. habent A. et Ald.,

᾽Αντισσα: Δημοσθένης ἐν τῷ κατ᾽ Ἀριστοκράτους. μία πόλις τῶν ἐν Λέσβῳ.

Ἀντρῶνες: πόλις ἐν Θετταλίᾳ· Δημοσθένης Φιλιππικῷ.

Ἀντωμοσία: γράμματά τινα γράψαντες ἀποφέρουσι πρὸς τὴν ἀρχὴν οἵ τε κατηγοροῦντες καὶ οἱ κατηγορούμενοι, περὶ ὧν ἂν ἡ δίκη. καλεῖται δὲ οὕτως, ἐπειδὴ ἀντώμνυον οἱ διώκοντες καὶ οἱ φεύγοντες, οἱ μὲν ἀληθῆ κατηγορήσειν, οἱ δὲ ἀληθῆ ἀπολογήσεσθαι.

Ἀνωρθίαζον: Ἀνδοκίδης. ἀντὶ τοῦ ὄρθιον βοῶντες ἔλεγον. Ὅμηρος

ἔνθα στᾶσ᾽ ἤϋσε θεὰ μέγα τε δεινόν τε
ὄρθι᾽ Ἀχαιοῖσιν, μέγα δὲ σθένος ἔμβαλ᾽ ἑκάστῳ
καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.

Ἀξιοῖ: ἀντὶ τοῦ νομίζει Ἀντιφῶν ὑπὲρ τῆς εἰς τὸν ἐλεύθερον παῖδα ὕβρεως καὶ Λυσίας.

Ἀξίοχος: Αἰσχίνῃ τῷ Σωκρατικῷ διάλογος ἐγράφη Ἀξίοχος καλούμενος.

Ἄξονι: οἱ Σόλωνος νόμοι ἐν ξυλίνοις ἦσαν ἄξοσι γεγραμμένοι·

1. Δ.—Ἀρ. om. 3. Θετταλίᾳ:— 4. γράψαντες (γραψάντων Suidas) περὶ ὧν ἡ δίκη ὅ τε κατηγορούμενος καὶ ὁ κατηγορῶν ἀποφέρουσι πρὸς τὴν ἀρχήν. καλεῖται δὲ οὕτως ἐπειδὴ ἑκάτερος αὐτῶν ἀντώμνυεν (ἐπειδὴ ἀντώμνυεν ἑκάτερος αὐτῶν D.), ὁ μὲν τἀληθῆ κατηγορήσειν. ὁ δὲ τἀληθῆ ἀπολογήσασθαι:— 8. Ἀνδοκίδης hoc loco E.T., post ἔλεγον D. ὄρθιον] ὄρθιοι 9. Ὅμηρος—μάχεσθαι om. 13. ᾽ΑΞΙΟΙ˜. Ἀντιφῶν καὶ Λυσίας ἀντὶ τοῦ νομίζει:— 17. οἱ] οἱ τοῦ D. ῎ΑΞΟΝΙ] ἄξωνι E.T. (ἄξωνοι D.) Suidas et Seg. p. 413, 15. copiosiorem alius grammatici gl. de v. ἄξονες substituerunt.

et Ald. quidem ante Ἀντιφῶν collocatam, omittunt ceteri.

p. 40, 18. Ἰολάου] ἰούλου A. et Ald. Ἰολάου restituit Maussacus ex iis quæ Suidas de Antipatro tradidit aliunde sumta.

p. 41, 1. Δημοσθένης] p. 664, 2.

3. Δημοσθένης] p. 133, 26.

6. οἱ δ.] καὶ οἱ δ. C.

7. ἀπολογήσεσθαι] ἀπολογήσασθαι libri. Correctum ex Suidæ editionibus: nam codices Suidæ consentiunt in ἀπολογήσασθαι.

— Ἀνδοκίδης om. A. B. F. Ald.: habent C. et Epitome. Locus est p. 5, 5.

— ἔλεγον] ἐγέλων A.

9. Ὅμηρος] Il 11, 10.

11. μέγα—μάχεσθαι om. C.

12. ἄλληκτον] ἄληκτον A. B. F. Ald.

14. ὕβρεως addidit anonymus in margine exemplaris Aldini Gœsiani apud Gronovium: quod præstat Meieri conjecturæ (de lite Att. p. 319.) qui ὕβρεως τῆς post ὑπὲρ τῆς addi voluit. Oratio Antiphontis ex hoc uno loco cognita. Post ὕβρεως addidi verba καὶ Λυσίας ex codice integriore servata in Epitome.

17. ἐν additum ex Epitome.

— ἦσαν ἄξοσι] ἄξοσιν ἦσαν B.C.

Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους "ὡς ἐν τῷ ἄξονι εἴρηται." ἦσαν δὲ, ὥς φησι Πολέμων ἐν τοῖς πρὸς Ἐρατοσθένην, τετράγωνοι τὸ σχῆμα, διασώζονται δὲ ἐν τῷ πρυτανείῳ, γεγραμμένοι κατὰ πάντα τὰ μέρη. ποιοῦσι δ' ἐνίοτε φαντασίαν τρίγωνον, ὅταν ἐπὶ τὸ στενὸν κλιθῶσι τῆς γωνίας.

Ἄοπτα: *ἀντὶ τοῦ ἀόρατα καὶ οὐκ ὀφθέντα, ἀλλὰ δόξαντα ὁρᾶσθαι Ἀντιφῶν Ἀληθείας α'.*

Ἄπαγε: *ἀντὶ τοῦ ἀπαγωγῇ χρῶ· ἀπαγωγὴ δὲ εἶδός ἐστι δίκης· Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. ὠνόμασται δὲ ἀπὸ τοῦ ἀπάγειν, ἀπάγεσθαι δ' ἐπὶ τῶν κακούργων. ἀπήγοντο δὲ πρὸς τοὺς ἕνδεκα.*

Ἀπαγορεύειν: *ἀντὶ τοῦ κάμνειν καὶ ἀδυνάτως ἔχειν Λυσίας ἐρωτικῷ.*

Ἀπαθῆ: *ἀντὶ τοῦ τὰ μὴ ὡς ἀληθῶς γεγονότα πάθη Ἀντιφῶν Ἀληθείας α'.*

Ἀπαριθμῶν: *ἀντὶ τοῦ ἀποπληρῶν ἀριθμὸν Ἰσοκράτης Φιλίππῳ.*

Ἀπαρτιλογία: *Λυσίας ἐν τῷ πρὸς Ἀρέσανδρον καὶ Ἡρόδοτος ἀντὶ τοῦ ἀπηρτισμένος καὶ πλήρης ἀριθμός.*

Ἀπατούρια: *Δημοσθένης ἐν τῷ πρὸς Βοιωτόν. ἑορτή ἐστι παρ'*

1. Δημ.—εἴρηται om. 2. ὡς—Ἐρ. om. 3. σχῆμα. μέμνηται δὲ τῆς λέξεως Δημ ἐν τῷ κατὰ Ἀριστοκράτους :— 6. "ΑΟΠΤΑ. Ἀντιφῶν ἀντὶ τοῦ ἀόρατα καὶ οὐκ ὀφθέντα μὲν, δόξαντα δὲ ὁρᾶσθαι :— 8. χρῶ τῇ ἀπαγωγῇ. οὕτω Δημ. ἐν τῷ κατὰ Ἀνδροτίωνος. ἔστιν δὲ δίκης εἶδος :— Cum Epitome consentit Seg. p. 414, 13. Verba ἐν τῷ—εἶδος om. Suidas. 11. Λ. ἐρωτικῷ om., totam gl. om. Suidas et Seg. Post ἔχειν Epitome addit ἀπαγωγὴ δίκης ἐστὶν εἶδος. ὠνόμασται δὲ ἀπὸ τοῦ ἀπάγειν. ἀπήγοντο δὲ οἱ κακοῦργοι πρὸς τοὺς ια'. 13. 'ΑΠΑΘΗ͂. Ἀντιφῶν τὰ—πάθη :— 15. 'ΑΠΑΡΙΘΜΩ͂Ν —Φιλίππῳ] Hanc glossam om. D. Φιλίππῳ om. 16. 'ΑΠΑΡΤΙΛΟΓΙ'Α (ἀπαρτηλογία E. et superscripto ι T.) ἀντὶ τοῦ—ἀριθμός (καὶ λόγος addit Suidas, ex alio grammatico, ut intelligitur collato Seg. p. 416, 15. 21.) οὕτω Λυσίας καὶ Ἡρόδοτος: — 18. 'ΑΠΑΤΟΥ'ΡΙΑ (ἀπατουρία T.)] Hanc

1. Δημοσθένης] p. 629, 21. ὡς ἐν τῷ ἄξονι ἀγορεύει.
— ὡς ἐν] ἕως ἐν A.B.F. Ald.
2. Ἐρατοσθένην] ἐρατοσθένη A.
3. κατὰ πάντα Valesius. Libri καὶ ἅπαντα.
4. τρίγωνον] τριγώνων Salmasius.
5. κλιθῶσι] τεθῶσι B.C.F.G.
6. ἀντὶ τοῦ] τὰ B.
7. α'] πρώτη B.C., om. A.
9. Δημοσθένης] p. 1256, 8.
12. ἐρωτικῷ] ἐν ἐρωτικῷ A.B.F.M. Ald. Non spectare hæc ad Lysiæ orationem amatoriam Phædro Platonico insertam et ἐρωτικῷ fortasse in ἐρωτικοῖς mutandum esse monuit Spengel in Συναγωγῇ τεχνῶν p. 124.
15. Ἰσοκράτης] p. 87 d.
16. 'ΑΠΑΡΤΙΛΟΓΙ'Α] ἀντιλογία B. C.F.
— Ἡρόδοτος] 7, 29.
18. Δημοσθένης] p. 995 extr.

Ἀθηναίοις, ἣν ἄγουσι Πυανεψιῶνι ἐφ' ἡμέρας δ', ὥς φασιν οἱ τὰ περὶ ἑορτῶν γράψαντες. πόθεν δ' ἐκλήθη ἄλλοι τε πολλοὶ εἰρήκασι καὶ Ἔφορος ἐν β', ὡς διὰ τὴν ὑπὲρ τῶν ὁρίων ἀπάτην γενομένην, ὅτι Ἀθηναίων πολεμούντων πρὸς Βοιωτοὺς ὑπὲρ τῆς Μελανίας χώρας Μέλανθος ὁ τῶν Ἀθηναίων βασιλεὺς Ξάνθον τὸν Θηβαίων μονομαχῶν ἀπατήσας ἀπέκτεινεν.

Ἀπειπεῖν ἀντὶ τοῦ ἀποκαμεῖν καὶ ἀδυνατῆσαι Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. καὶ ἀντὶ τοῦ ἀπαρνήσασθαι παρὰ τῷ αὐτῷ.

gl. ex Epitome sumsit Seg. p. 417, 22.–27. (nam reliqua aliunde sumta): non habet Suidas, qui ejus loco amplius apposuit excerptum ex schol. Aristoph. Ach. 146. Δημοσθένης ἐν τῷ πρὸς B. om.

1. Ἀ. Πυανεψιῶνι τελουμένη ἐπὶ ἡμέρας δ'. (ἡμέρας τρεῖς Seg.) ἐκλήθη δὲ οὕτως (οὕτω T. et Seg.) διὰ τὴν—γενομένην τῆς Μελανίας χώρας. πολεμούντων γὰρ ὑπὲρ αὐτῶν Ἀθηναίων (γὰρ τῶν Ἀθηναίων Seg.) πρὸς Βοιωτοὺς Μέλανθος 5. Ξάνθῳ τῷ Θηβαίων (Θηβαίῳ Seg.) 7. ἀδυνατῆσαι. ἔστιν δὲ ἀντὶ τοῦ ἀπαρνήσασθαι:—(ἀδυνατῆσαι. ἢ καὶ ἀπιστεῖν. ἔστι δὲ καὶ ἀντὶ τοῦ ἀπαρνήσασθαι Seg. p. 420, 14. Apud Suidam s. v. ἀπείπατο, ubi multa aliunde petita composuit, καὶ ἀπειπεῖν ἀντὶ τοῦ ἀποκαμεῖν καὶ ἀδυνατῆσαι. ἢ ἀπειπεῖν, ἀπαρνήσασθαι, ἀποποιήσασθαι φιλίαν. In Z. est ἀπειπεῖν ἀντὶ τοῦ ἀποκαμεῖν. Λυσίας καὶ ἀντὶ τοῦ ἀπαρνήσασθαι.)

4. Ἀθηναίων πολεμούντων] πολεμούντων ἀθηναίων Ald. πολεμούντων τῶν ἀθηναίων A.

— Μελανίας] Suspecta nominis forma, quæ aut ficta ab Harpocratione aut librarii errore illata est. Varias nominis formas memorat Steph. Byz. Μελαινεῖς, δῆμος τῆς Ἀντιοχίδος φυλῆς. Καλλίμαχος δὲ Μελαινάς φησι τὸν δῆμον ἐν Ἑκάλῃ. ὁ δημότης ὁμοίως Μελαινεύς. τὸ θηλυκὸν Μελαινηΐς. τὰ τοπικὰ ἐκ Μελαινῶν, εἰς Μελαινῶν, ἐν Μελαινῶν. Recte igitur Polyænus, ubi Xanthi Melanthique μοναμάχιον narrat, 1, 19. ἐπολέμουν Μελαινῶν πέρι· (Μελαιναὶ χωρίον μεθόριον Ἀττικῆς καὶ Βοιωτίας). ex quo corruptum ἐκ Κελαινῶν (quæ Phrygiæ, non Atticæ sunt) ap. schol. Arist. Ach. 146., quem errorem repetivit Suidas s. v. Ἀπατούρια, correxit Apostolius Proverb. 3, 74. nisi quod falso accentu Μελαίνων ibi scriptum. Ab aliis non περὶ Μελαινῶν, sed περὶ Οἰνόης pugnatum esse tradi narrat schol. Platonis p. 49, quam famam sequuntur Conon Narrat. c. 39. et Proclus ad Platon. Tim. p. 27.: utramque in unam conjunxit gramm. in Bekk. Anecd. p. 416, 25. Βοιωτῶν μαχομένων Ἀθηναίοις ἐπὶ χώρας Οἰνόης καὶ Μελαινῶν.

5. Θηβαίων] θηβαῖον A. B. C. F. Ald. Post hanc gl. in A.B.F. et Ald. sequitur gl. inferior de v. ἀπίλλειν, quam plane omittit Epitome.

7. ἐν τῷ om. B.C.F.

10. 11. In Excerptis ap. Cramer. Anecd. Oxon. vol. 2. p. 490, 5. ἀπειπεῖν: ἀντὶ τοῦ ἀποκαμεῖν. Λυσίας καὶ ἀντὶ τοῦ ἀπαρνήσασθαι. Ex quo Sauppius Fragm. Orat. p. 141. collegit apud Harpocr. post Antiphontis memoriam excidisse ἀντὶ τοῦ κελεῦσαι μὴ πράττειν παρὰ τῷ Λυσίᾳ. Qua significatione Lysiam dixisse ἐν τῷ κατὰ Κτησιφῶντος, (oratione nusquam alibi memorata) auctor est Suidas s. v. ἀπείπατο.

11. παρὰ τῷ αὐτῷ] παρ' αὐτῷ C.

ʼΑπεργασάμενος: ἀντὶ τοῦ ἀποδοὺς ἐκ τῶν ἔργων ὧν εἰργάσατο ʼΙσαῖος ἐν τῷ πρὸς ʼΑπολλόδωρον.

ʼΑπεσχοινισμένος: Δημοσθένης ἐν τῷ κατ' ʼΑριστογείτονος α' ἀντὶ τοῦ ἀποκεκλεισμένος· ὅταν γὰρ ἡ βουλὴ περισχοινίσηται, ὡς αὐτός φησι, τότε οἱ ἄλλοι πάντες εἰσὶν ἀπεσχοινισμένοι.

ʼΑπηλοημένος: ὁ ἀπὸ τῆς ἅλω συγκεκομισμένος μετὰ τὸ ἀλοηθῆναι, ὅ ἐστι πατηθῆναι· Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον.

ʼΑπήχεια: ἀντὶ τοῦ ἀπέχθεια Λυσίας πρὸς Μέδοντα καὶ Δείναρχος κατὰ Κηφισοκλέους.

ʼΑπίλλειν: Λυσίας ἐν τῇ κατὰ Θεομνήστου, εἰ γνήσιος, "ἀποκλείειν νομίζεται."

ʼΑπιστεῖν: ἀντὶ τοῦ ἀπειθεῖν ʼΑντιφῶν κατὰ Λαισποδίου, ʼΙσοκράτης ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Φίλιππον. λέγουσι δὲ καὶ ʼΑπιστίαν τὴν ἀπείθειαν, ὡς Δημοσθένης ἐν θ' Φιλιππικῶν καὶ ἄλλοι πολλοί.

1. ἀποδοὺς ἐξ ὧν εἰργάσατο. οὕτως ʼΙσαῖος ἐν τῷ π. ʼΑ. 3. α' om. 4. ἀποκεκλιμένος E.T. (id est ἀποκεκλειμένος, ut scriptum in Suidæ cod. Paris. A.) ἀποκεκλισμένος D. (id est ἀποκεκλεισμένος ut vulgo ap. Suidam et Seg. p. 422, 31.):— 6. ʼΑΠΗΛΩΗΜΕʹΝΟΣ—ἀλωθῆναι, ὅ ἐστιν ἀπατηθῆναι. οὕτω Δημοσθένης ἐν τῷ π. Φ. Sed ἀλοηθῆναι, ὅ ἐστι πατηθῆναι recte ap. Suidam et Seg. p. 424, 28, qui om. ἐν τῷ πρὸς Φαίνιππον. 8. τοῦ ἀπήχθεια. οὕτω Λύσης καὶ Δείναρχος:— E.T. ἀπέχθεια et Λυσίας recte in D. et ap. Suidam. 10. ʼΑΠΙʹΛΛΕΙΝ—νομίζεται om., neque habent Suidas et Seg. 12. ἀντὶ τοῦ] τὸ ʼΑντ.—Φίλιππον om. 13. καὶ om. D. 14. ἀπείθειαν:—

3. ʼΑΠΕΣΧΟΙΝΙΣΜΕʹΝΟΣ] ἀπεσχοινισμένον B.F. Nominativus est apud Demosth. p. 778, 16.

4. ἀποκεκλεισμένος] ἀποκεκλιμένος N. et corr. A. ἀποκεκλισμένος pr. A. ἀποκεκλημένος C.F. Ald.

6. ʼΑΠΗΛΟΗΜΕʹΝΟΣ] ἀπηλωημένος A.B.C.F. Ald.

— ἀλοηθῆναι] ἁλωηθῆναι A B.C. et cum spiritu leni F.

7. πατηθῆναι] ἀπατηθῆναι C.

— Δημοσθένης] p. 1040, 22.

8. Δείναρχος κατὰ Κηφισοκλέους] Hunc citat etiam schol. Aristidis vol. 3. p. 517, 11, ubi vocabulum ἀπηχές pluribus et accuratius quam Harpocratio explicat.

10. Λυσίας] p. 117, 37, ubi legis verba "ὅστις δὲ ἀπίλλει τῇ θύρᾳ—" explicat, τὸ ἀπίλλειν τὸ ἀποκλείειν νομίζεται, καὶ μηδὲν διὰ τοῦτο διαφέρον.

10. Θεομνήστου] θεόμνηστον A.B. F. Ald.

12. ἀντὶ τοῦ] τὸ B.C.F. ut Epitome.

— ἀπειθεῖν] ἀπεχθεῖν A. ἀπιθεῖν C.

— Λαισποδίου Bekkerus. Λαισπονδίου A. λαισπουδίου ceteri.

— ʼΙσοκράτης] p. 409 b., ubi ἠπίστησας ex cod. Urbin. restitutum pro ἠπείθησας.

14. Δημοσθένης] Videtur male intellexisse verba Demosthenis p. 121, 4, τὴν πρὸς τοὺς τυράννους καὶ τοὺς βαρβάρους ἀπιστίαν. Verba ὡς Δημοσθένης—πολλοί om. C. cum Epitome.

ʽΑπλᾶσ: Δημοσθένης κατὰ Κόνωνος. Καλλίστρατός φησι τὰ μονόπελμα τῶν ὑποδημάτων οὕτω καλεῖσθαι. Στράττις Λημνομέδᾳ " ὑποδήματα σαυτῷ πρίασθαι τῶν ἁπλῶν."

ʼΑποβάτησ καὶ ʼΑποβαίνειν καὶ ʼΑποβατικοὶ τροχοί: Δείναρχος κατὰ Φορμισίου καὶ ἐν τῇ πρὸς ʼΑντιφάνην ἀπολογίᾳ, Λυκοῦργός τε ἐν τῇ πρὸς Δημάδην ἀπολογίᾳ. ὁ ἀποβάτης ἱππικόν τι ἀγώνισμα, καὶ ἀποβῆναι τὸ ἀγωνίσασθαι τὸν ἀποβάτην, καὶ ἀποβατικοὶ τροχοὶ οἱ ἀπὸ τούτου τοῦ ἀγωνίσματος. τὰ δ' ἐν αὐτῷ γινόμενα δηλοῖ Θεόφραστος ἐν τῷ κ' τῶν Νόμων. χρῶνται δὲ, φησὶ, τούτῳ μόνοι τῶν ʽΕλλήνων ʼΑθηναῖοι καὶ Βοιωτοί.

ʼΑπογραφή: ὅταν τις λέγῃ τινὰ ἔχειν τι τῶν τῆς πόλεως, ἀπογραφὴν ποιεῖται ὁ ἐναγόμενος, δηλῶν πόθεν ἔχει τὰ χρήματα καὶ πόσα ταῦτα εἴη. μήποτε δὲ καὶ εἶδός τι δίκης ἐστὶν ἡ ἀπογραφή· εἰ γὰρ ἀρνοῖτό τις μὴ ἔχειν, ἀπογραφῆς ἐκρίνετο ὡς οὐκ ὀρθῶς γεγενημένης τῆς ἀπογραφῆς· Δημοσθένης κατ' ʼΑνδροτίωνος. τί δὲ ἦν τὸ

1. Δ. κατὰ Κ. om. 2. καλεῖσθαι :— 4. Δείναρχος—Δημάδην ἀπολογίᾳ om. 6. ἀποβάτης (sine ὁ) μὲν ἱππικόν τι ἀγώνισμά ἐστιν 7. ἀποβατικοὶ δὲ τρ., sine καὶ 8. ἀγωνίσματος :— 11. ὅταν] ἐπειδάν 12. ὁ ἐναγόμενος ἀπογραφὴν ποιεῖται δηλῶν ὅσα τε ἔχει καὶ ὅθεν τὰ χρήματα. μήποτε E.T. ποιῆται δηλῶν ὁπόθεν ἔχειν τὰ χρήματα ὁ ἐγκαλούμενος καὶ πόσα ταῦτα εἴη. μήποτε D. 13. δὲ om. εἶδός τινός ἐστι δίκης εἰ γὰρ—ἐκρίνετο om. D. 14. γενομένης] γενομένη D. 15. τῆς ἀπογραφῆς om. D., habet vero proxima Δημοσθένης—ʼΑρεθουσίου (ἀρεθουσίων D.)—γίνεται (γίνετω D.) οὕτω Δημοσθένης ἐν τῶ κατὰ ʼΑνδροτίωνος :— E.T.

1. Δημοσθένης κατὰ Κ.] Hæc quoque om. C. Est p. 1267, 23.

2. Στράττις—ἁπλῶν om. C.

3. σαυτῷ A.B.F.M. Ald. Ceteri σεαυτῷ. Prætuli σαυτῷ, a quo trimeter incipere videtur, nisi ὑποδήματ' οὖν σαυτῷ—ἁπλῶν, quod proposuit Dobræus, vel simile quid a poeta scriptum fuit. σεαυτῷ si probetur, verba hæc unum efficient versum, ictu in ultimam vocabuli ὑποδήματα syllabam cadente, non vitiose quidem (v. ad Soph. Œd. T. 867.), sed minus probabiliter.

4. ʼΑΠΟΒΑʹΤΗΣ] Conf. Boeckh. in Annal. Instit. Archæol. vol. 1. p. 155 seqq., Meier. in Encyclopædia Halensi 3, 10, p. 282 seqq., Krausius de gymnast. et agonist. Græcorum vol. 1. p. 570 sq., quos indicavit Sauppius Fragm. p. 262.

4. ἀποβαίνειν] ἀποβαίνει B.C.F.

— Δείναρχος—ʼΑντιφάνην ἀπολογίᾳ om. C.

5. Λυκοῦργος—ἀπολογίᾳ om. A.

8. ἀπὸ] ἐπὶ N.

9. χρῶνται—Βοιωτοί] Hæc duasque glossas proximas om. C.

11. τῶν om. B.

12. ὁ ἐναγόμενος] ὁ ἐγκαλούμενος F.M. et post χρήματα N. ὁ ἐγκαλούμενος B.

13. ἐστὶν om. N.

14. ἀπογραφῆς F. et Epitome. Ceteri ἀπογραφεὶς.

15. τῆς om. F.

— Δημοσθένης] p. 609. extr. τὸ τὰ χωρία δημεύειν καὶ τὰς οἰκίας καὶ ταῦτ' ἀπογράφειν. p. 612. ἀπογράφειν ὅσα ὠφείλετο.

κινδύνευμα τῷ τὴν ἀπογραφὴν ποιουμένῳ, ἐν τῷ Δημοσθένους πρὸς Νικόστρατον *περὶ τῶν* ʼΑρεθουσίου *ἀνδραπόδων, εἰ γνήσιος, δῆλον γίνεται.*

ʼΑποδέκται: *ἀρχή τίς ἐστι παρ᾽* ʼΑθηναίοις *οἱ ἀποδέκται, ἧς πολλάκις μνημονεύουσιν οἱ ῥήτορος καὶ οἱ κωμικοί.* ʼΑριστοτέλης *δ᾽ ἐν τῇ* ʼΑθηναίων *πολιτείᾳ δεδήλωκεν ὡς δέκα τε εἴησαν, καὶ ὡς παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς ἐναντίον ἐν τῷ βουλευτηρίῳ, καὶ πάλιν ἀποδιδόασι τὰ γραμματεῖα τῷ δημοσίῳ· καὶ ἁπλῶς ἃ πράττουσι διασαφεῖ. ὅτι δὲ ἀντὶ τῶν κωλακρετῶν οἱ ἀποδέκται ὑπὸ* Κλεισθένους *ἀπεδείχθησαν,* ʼΑνδροτίων *β΄.*

ʼΑποδιδόμενοι: ʼΑντιφῶν *ἐν τῷ περὶ τοῦ* Σαμοθρᾳκῶν *φόρου ἀντὶ τοῦ ἀποδιδόντες. ἑξῆς δέ φησιν "ἀποδιδόμεθα" ἤτοι ἀντὶ τοῦ ἀποδίδομεν ἢ ἀντὶ τοῦ πιπράσκομεν.*

ʼΑποικία: *ἰδίως τὰ γράμματα καθ᾽ ἃ ἀποικοῦσί τινες οὕτως ὠνόμασαν·* ʽΥπερείδης Δηλιακῷ.

ʼΑποικοδομεῖς: *ἀντὶ τοῦ ἀποφράττεις ἀπολαβών τινα οἰκοδομήματι* Δημοσθένης *ἐν τῷ πρὸς* Καλλικλέα.

ʼΑποκηρύττοντες: *ἀντὶ τοῦ πιπράσκοντες* Δημοσθένης *κατ᾽* ʼΑριστοκράτους. Πλάτων Πρέσβεσι "*σκευάρια δὴ κλέψας ἀπεκήρυξ᾽ ἐκφέρων,*" *ἐπώλησεν.*

ʼΑπόκρισις: *ἡ ἀπολογία·* Λυσίας. *καὶ* Δημοσθένης *κατ᾽* Αἰσχίνου "*ἀπόκριναι γὰρ δεῦρο παρελθών μοι.*" Εὔπολις Πόλεσιν

4. ʼΑθηναίοις. δέκα δὲ ἦσαν οἱ (οἱ D., qui καὶ ante ἀπαλείφουσι addit) παραλ.—δημοσίῳ:— 12. ʼΑΠΟΔΙΔΟ΄ΜΕΝΟΙ. ʼΑντιφῶν (ἐν τῷ περὶ τῶν σαμοθρακῶν φόρου addit D.) ἀντὶ τοῦ ἀποδιδόντες, καὶ ἀποδιδόμεθα ἀντὶ τοῦ ἀποδίδομεν ἢ πιπράσκομεν:— 15. ʼΑΠΟΙΚΙ΄Α—Δηλιακῷ om. E.T., habet D. 17. ἀπολαβών—οἰκ. om. 19. πιπράσκοντες. οὕτω Δημοσθένης καὶ Πλάτων:— 22. ἀπολογία. οὕτω Λυσίας καὶ ʼΑντιφῶν. ἀλλὰ καὶ Δημοσθένης ὁμοίως λέγει ἐν τῷ κατ᾽ Αἰσχίνου ἀπόκριναι λέγων δεῦρό μοι παρελθών:—

1. Δημοσθένους] p. 1246.

5. οἱ ῥήτορες] Velut Æschines p. 57, 26. Demosth. p. 750, 24. 762, 2.

6. παραλαβόντες] παραλαμβάνοντες A.

9. πράττουσι] γράφουσι B.

— ὅτι] Pendet ab verbo δηλοῖ intellecto, ut s. v. Νάννιον, ὅτι θαλλῷ χαίρουσιν αἱ αἶγες Σοφοκλῆς.

11. β΄] ἐν τῷ δευτέρῳ Ald.

18. Δημοσθένης] p. 1273, 8.

19. Δημοσθένης] p. 687, 23.

20. ἀπεκήρυξ᾽ Valesius pro ἀπεκήρυξεν.

22. Λυσίας καὶ om. C.

— Δημοσθένης] p. 378. 4. ἀπόκριναι γὰρ δεῦρ᾽ ἀναστάς μοι.

23. Εὔπολις—κατηγορούμενα om. C.

ὡς ὑμῖν πάντως ἐγὼ
ἀποκρινοῦμαι πρὸς τὰ κατηγορούμενα.

ʻΑπολαχεῖν: ἀντὶ ἁπλοῦ τοῦ λαχεῖν ʻΑντιφῶν ἐν τῷ κατὰ Φιλίνου, Λυσίας κατὰ Ποσειδίππου. ʻΑριστοφάνης Ταγηνισταῖς

οὐ μὴν ὅ γε σὸς ἀδελφὸς οὖ ἀπελάγχανεν.

ʻΑπολελοιπότες: ἀντὶ τοῦ νενικηκότες. ἡ μεταφορὰ ἀπὸ τῶν δρομέων· οἱ γὰρ νικῶντες ἀπολείπουσι τοὺς ἡττωμένους. ʻΙσοκράτης Παναθηναϊκῷ καὶ Πανηγυρικῷ.

ʻΑπόληξις: εἷς τῶν ι′ συγγραφέων, ὃν Πλάτων κωμῳδεῖ ἐν Σοφισταῖς.

3. ʼΑΠΟΛΑΧΕΙ̂Ν. ἀντὶ τοῦ λαχεῖν (διαλαχεῖν Suidas et Zonaras p. 265: sed λαχεῖν Seg. p. 43c, 9. ubi verba typothetæ culpa omissa supplevit Bekker. in annot. p. 1113.). οὕτω Λυσίας καὶ ʼΑριστοφάνης καὶ ʼΑντιφῶν:— 7. δρομέων] δρομαίων E.T.Z. τρεχόντων Seg. p. 430, 19, non Suidas. οὕτως ʼΙσοκράτης ἐν Παναθηναϊκῷ καὶ Πανηγυρικῷ:— 9. ʼΑΠΟ′ΛΗΞΙΣ—Σοφισταῖς om.

1. πάντως ἐγὼ] ἐγὼ πάντως codices et Ald. Transposuit Maussacus distinctis versibus—ὡς ὑμῖν πάντως ἐγὼ | ἀποκρινοῦμαι πρὸς τὰ κατηγορούμενα, quos ille haud dubie trimetros esse putavit, non deterritus quarti pedis spondeo. Sed metrum Eupolideum esse verbaque ex parabasi sumta videri observavit Elmsleius ad Aristoph. Acharn. 632. indicata trium syllabarum post πρὸς τὰ lacuna (quam verbis κακῶς μου explevit Hermann. Opusc. vol. 5. p. 297.): quæ ratio probabilior videtur quam quod Meinekius conjecit in Comicorum editione minore vol. 1. p. 195. ὡς ὑμῖν ἐγὼ | πάντ' ἀποκρινοῦμαι πρὸς τὰ κατηγορούμενα, vocabulo πάντα si, ut videtur, cum κατηγορούμενα conjungi voluit, minus apte collocato.

3. ἀντὶ] ἀντὶ τοῦ B.C.F. eodem vitio quo supra s. v. ἀνήκει.

— ʼΑντιφῶν—Ποσειδίππου om. C.

4. Ποσειδίππου] ποδιδίππου F. ποδιδίπου B. Voluerunt Ποσιδίππου, quod est in Ald.

— ʼΑριστοφάνης] Fragm. 419. Verba propter ictum qui in γε particulam cadit vitii suspecta Dobræo in Append. ad Aristoph. p. (104.) Idem in Advers. vol. 1. p. 585. οὗ ἀπελάγχανεν in οὕτως ἀπέλαχεν mutavit, et recte fortasse. οὗ, quod om. N., in οὐκ mutari volebat Salmasius. Unum trimetrum restituit Meinek. Com. vol. 1. p. 316. ed. min. οὐ μὴν ὁ σός γ' ἀδελφὸς ἀπελάγχανεν.

7. ἡττωμένους] ἡττημένους A.B.C. Ald.

— ʼΙσοκράτης—Πανηγυρικῷ om. C. Isocratis loci sunt p. 241 b. 50 e.

9. ʼΑΠΟ′ΛΗΞΙΣ] Memoratus ab Antiphonte, cujus verba v. s. v. στασιώτης.

— ι′] ν′ O. νῦν A. Ald., om. B. C.F. Rectum numerum restituit Cobetus Observ. in Platon. com. p. 187. Nam συγγραφεῖς intelliguntur decemviri constituendæ reipublicæ olymp. 92, 2., auctore Pisandro, creati. Thucyd. 8, 67. οἱ περὶ Πείσανδρον εἶπον γνώμην δέκα ἄνδρας ἑλέσθαι ξυγγραφέας αὐτοκράτορας, τούτους δὲ ξυγγράψαντας γνώμην εἰσενεγκεῖν εἰς τὸν δῆμον ἐς ἡμέραν ῥητὴν καθότι ἄριστα ἡ πόλις οἰκήσεται.

— Σοφισταῖς Jungermann. ad Polluc. 7, 100. Libri σοφιστῇ.

Ἀπομάττων: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. οἱ μὲν ἁπλοϊκώτερον ἀκούουσιν ἀντὶ τοῦ ἀποψῶν καὶ ἀπολυμαινόμενος, ἄλλοι δὲ περιεργότερον, οἷον περιπλάττων τὸν πηλὸν καὶ τὰ πίτυρα τοῖς τελουμένοις, ὡς λέγομεν ἀπομάττεσθαι τὸν ἀνδριάντα πηλῷ· ἤλειφον γὰρ τῷ πηλῷ καὶ τῷ πιτύρῳ τοὺς μυουμένους, ἐκμιμούμενοι τὰ μυθολογούμενα παρ' ἐνίοις, ὡς ἄρα οἱ Τιτᾶνες τὸν Διόνυσον ἐλυμήναντο γύψῳ καταπλασάμενοι ἐπὶ τῷ μὴ γνώριμοι γενέσθαι. τοῦτο μὲν οὖν τὸ ἔθος ἐκλιπεῖν, πηλῷ δὲ ὕστερον καταπλάττεσθαι νομίμου χάριν. Σοφοκλῆς ἐν Αἰχμαλωτίσι

στρατοῦ καθαρτὴς κἀπομαγμάτων ἴδρις,

καὶ πάλιν

δεινότατος ἀπομάκτης τε μεγάλων συμφορῶν.

Ἀπόλλων πατρῷος ὁ Πύθιος: προσηγορία τίς ἐστι τοῦ θεοῦ πολλῶν καὶ ἄλλων οὐσῶν. τὸν δὲ Ἀπόλλωνα κοινῶς πατρῷον τιμῶσιν Ἀθηναῖοι ἀπὸ Ἴωνος· τούτου γὰρ οἰκίσαντος τὴν Ἀττικήν, ὡς Ἀριστοτέλης φησί, τοὺς Ἀθηναίους Ἴωνας κληθῆναι καὶ Ἀπόλλωνα πατρῷον αὐτοῖς ὀνομασθῆναι.

2. ἁπλ. ἀκ. et καὶ λυμαινόμενος om. 3. περιεργότερον, οἷον] ἀντὶ τοῦ 4. ὡς λέγομεν om. ἀνδριάντα τῷ πηλῷ :— 12. ἈΠΟ'ΛΛΩΝ—ὀνομασθῆναι om.

1. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος (p. 313, 17.) additum ex Epitome.

2 ἀπολυμαινόμενος Lobeck. Aglaoph. p. 653. Legebatur λυμαινόμενος.

3. οἷον om. N.

— περιπλάττων] παραπλάττων C.

4. πηλῷ (τῷ πηλῷ Ald.) post ἀνδριάντα delet Dobræus. ἀπομάττεσθαι interpretatur idem *effingere* collato Aristoph. Rau. 1040.

— ἤλειφον γὰρ τῷ πηλῷ om. A. Ald.

5. γὰρ additum ex N.

— καὶ τῷ] τῷ τε C.

7. γύψῳ om. F.

— καταπλασάμενοι] καταπλασσόμενοι C.

— μὲν om. B., οὖν om. F.

8. ἔθος] V. de hoc more Lobeck. Aglaoph. p. 654.

8. ἐκλιπεῖν] ἐκλείπειν F. ἐκλείπει B.C.

— καταπλάττεσθαι] ἀναπλάττεσθαι F.

— νομίμου] μνημείου Bekkerus.

9. Αἰχμαλωτίσι] αἰχμαλώτισι A. F. Ald., qui frequens accentus est etiam in aliorum scriptorum libris, de quo dixi ad Soph. Aj. 71, sed qui repugnat Herodiani præcepto in Cram. Anecd. Oxon. vol. 3. p. 276, 8.

12. δεινότατος] δεινότατοι B.C.F. Ald., om. N.

— ἀπομάκτης τε] ἀπομάκτητες B. C. Ald.

14. οὐσῶν] εἰδῶν B.C.F.H.

— τιμῶσιν] ἀθηναῖοι κοινῶς πατρῷον C.

15. οἰκίσαντος Salmasius pro οἰκήσαντος.

— Ἀριστοτέλης] ἀριστοφάνης A.

Ἀπόμισθοι: οἱ μισθὸν μὴ λαμβάνοντες· Δημοσθένης Φιλιππικοῖς καὶ ἐν τῷ κατ' Ἀριστοκράτους.

Ἀπὸ μισθωμάτων: Δίδυμός φησιν ὁ γραμματικὸς ἀντὶ τοῦ ἐκ τῶν τεμενικῶν προσόδων. ἑκάστῳ γὰρ θεῷ πλέθρα γῆς ἀπένεμον, ἐξ ὧν μισθουμένων αἱ εἰς τὰς θυσίας ἐγίνοντο δαπάναι· οὐ γὰρ κατ' εὐσέβειαν ἔθυον τὰ ἱερεῖα, ἀλλὰ μισθούμενοι.

Ἀπονομή: ἡ ἀπόμοιρα, ὡς μέρος τι τῶν περιγιγνομένων ἐκ τῶν μετάλλων λαμβανούσης τῆς πόλεως, ἢ ὡς διαιρουμένων εἰς πλείους μισθωτὰς, ἵν' ἕκαστος λάβῃ τι μέρος· Δείναρχος ἐν τῷ πρὸς τοὺς Λυκούργου παῖδας πολλάκις.

Ἀποπεφασμένον: ἀντὶ τοῦ ἀποδεδειγμένον καὶ πεφανερωμένον. οὕτω Δείναρχος καὶ Λυσίας καὶ Δημοσθένης κατὰ Νεαίρας "ἀπο-"πεφασμένως πωλοῦνται" ἀντὶ τοῦ φανερῶς.

Ἀποπομπάς: Ἰσοκράτης Φιλίππῳ. ἀποπομπαῖοί τινες ἐκαλοῦντο θεοὶ, περὶ ὧν Ἀπολλόδωρος ἐν ἕκτῳ περὶ θεῶν διείλεκται.

1. λαβόντες. οὕτω Δημοσθένης:— E.T. λαμβάνοντες. οὕτω Δ. ἐν Φιλιππικοῖς:— D. 3.—6. om. 9. λάβῃ τι μέρος] λάβοι (λάβῃ libri Suidæ deteriores, non Seg. p. 432, 23.) τι μέρος 12. καὶ Δ. ἐν τῷ κατὰ Νεαίρας:— 14. ἈΠΟΠΟΜΠΑΙ῀ΟΙ. θεοί τινες οὕτως ἐκαλοῦντο:—

P. 48, 16. καὶ Ἀπόλλωνα πατρῷον (ἀπόλλων πατρῷος A. Ald.) αὐτοῖς (αὐτοῖς om. B.) ὀνομασθῆναι om. C.G.

— ὀνομασθῆναι] κληθῆναι B.

P. 49, 1. Δημοσθένης] p. 53, 16. 671, 2. Ald. hæc sic interpolavit ex Suida, ἀπόμισθοι· ἄμισθοι. οἱ μισθῷ ἔργον τι διαπραξάμενοι, καὶ ἄμισθοι ἀφειμένοι. κεῖται δὲ ἡ λέξις παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Καλλικλέα. ἀπόμισθοι δὲ παρὰ Δημοσθένει ἐν Φ. καὶ ἐν τῷ κατ' Ἀ. οἱ μισθὸν μὴ λαβόντες.

3. ἈΠΟ' ΜΙΣΘΩΜΑ'ΤΩΝ] Isocrates p. 145 c. ad quem locum si, ut videtur, Didymi explicatio referenda est, male est interpretatus, de quo post Valesium et Coraën dixit Bakius Schol. Hypomn. vol. 4. p. 251.

— τοῦ] τοῦ γῇ B.C.F.G.

5. ἐγίνοντο] ἐγένοντο C.F.

8. ἢ ὡς] ἤγουν Ald., quemadmodum vicissim ἤγουν sæpe pro ἢ ὡς acceptum est, de quo dixit Bastius ad Greg. Cor. p. 787.

— διαιρουμένων] διαιρουμένους A. διαιρουμένη Ald.

9 μισθωτὰς ex Epitome pro μισθωτούς. Vera autem prior interpretatio: v. Boeckh. de metallis. Laur. in Commentationibus Acad. Borussicæ a. 1815. p. 122.

11. ἀντὶ] ἀπειρημένον, ἢ ἀντὶ Ald. cum Suida et Seg. p. 433, 1.

— Verba καὶ πεφανερωμένον—Λυσίας καὶ addidi ex Epitome. οὕτω addidit Epitomator, omisit vero Dinarchi Lysiæque orationum titulos, quos haud dubie posuerat Harpocratio. Dinarchi locus fortasse est p. 91, 4, ἐπὶ τοῖς κατὰ Δημοσθένους ἀποπεφασμένοις χρήμασι. Adverbium πεφασμένως est in legis formula apud Lysiam c Theomnest. p. 117, 42, qui per φανερῶς explicat. Verba καὶ Λυσίας (καὶ λύσης E. T.) omisit Seg. p. 433, 2. Demosthenis locus est p. 1367, 27.

14. 'ΑΠΟΠΟΜΠΑ'Σ] ἀποτροπάς addit Ald. ex Suida.

— Ἰσοκράτης] p. 106 b.

ʹΑποῤῥέξαντες: ἀπομερίσαντες, ἀπόμοιράν τινα δόντες· ʹΙσαῖος ἐν τῇ ὑπὲρ Νικίου συνηγορίᾳ· ἔστι δὲ κἂν τῇ κωμῳδίᾳ.

ʹΑπόῤῥητα: τὰ ἀπειρημένα ἐν τοῖς νόμοις· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. τίνα δὲ ἦν ἅπερ ἀπείρηται λέγειν εἰς ἀλλήλους δεδήλωκε Λυσίας ἐν τῷ κατὰ Θεομνήστου, εἰ γνήσιος ὁ λόγος.

ʹΑπορώτατος: ἀντὶ τοῦ πρὸς ὃν οὐδένα πόρον ἔστιν εὑρεῖν ʹΙσαῖος ἐν τῷ ὑπὲρ τῆς Μνησαίου θυγατρός.

ʹΑποσάξαντα: Δείναρχος ἀντὶ τοῦ φράξαντα τὸ τρῆμα καὶ ἀποπληρώσαντα. [ʹΗρόδοτος ἐν ϛʹ.]

ʹΑποστασίου: δίκη τίς ἐστι κατὰ τῶν ἀπελευθερωθέντων δεδομένη τοῖς ἀπελευθερώσασιν, ἐὰν ἀφιστῶνταί τε ἀπ' αὐτῶν ἢ ἕτερον ἐπιγράφωνται προστάτην, καὶ ἃ κελεύουσιν οἱ νόμοι μὴ ποιῶσιν. καὶ τοὺς μὲν ἁλόντας δεῖ δούλους εἶναι, τοὺς δὲ νικήσαντας τελέως ἤδη ἐλευθέρους. πολλάκις δ' ἐστὶ παρὰ τοῖς ῥήτορσι, παρὰ τῷ Λυσίᾳ ἐν τῷ πρὸς Ἀριστόδημον καὶ ʹΥπερείδῃ ἐν τῷ κατὰ Δημητρίας ἀποστασίου. ʹΑριστοτέλης δ' ἐν ʹΑθηναίων πολιτείᾳ περὶ τοῦ πολεμάρχου

1. ἀπόμοιραν δόντες :— 3. νόμοις· οὕτω Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος :— 6. εὑρεῖν. οὕτως ʹΙσαῖος ἐν τῷ ὑπὲρ τῆς Μνησαίου θυγατρός :— 8. ἈΠΟΣΑʹΞΑΝΤΑ. Δείναρχος ἀντὶ τοῦ πράξαντος (φράξαντα Suidas et Seg. p. 435, 10.) τὸ τρῆμα :— 11. τε om. 12. προστάτην ἕτερον ἐπιγράφωνται (ἀντιγράφωνται D.) 13. τελέως λοιπὸν ἐλευθέρους :—

1. ἀπομερίσαντες om. Ald.

2. Νικίου] νικαίου C. νικαίους B. νικίους F.

3. Δημοσθένης] p. 268, 22.

4. ἅπερ] ἅτιν' B.

— λέγειν εἰς ἀλλήλους om. C.

5. Λυσίας] p. 116, 37.

7. τῆς additum ex Epitome.

— Μνησαίου] Μνησαίου nominis, quod ex rarioribus est, duo præter hoc novimus exempla, alterum Μνησαίου Trojani apud Quintum Sm. 10, 88, alterum Atheniensis, qui Nicagoræ rhetoris pater fuit, memoratus ab Suida s. v. Νικαγόρας.

8. Δείναρχος addidi ex Epitome.

— φράξαντα] ἀποφράξαντα B.

— ἀποπληρώσαντα] ὑποπληρώσαντα F.

9. ʹΗρόδοτος] ἰσαῖος. ἡρόδοτος N. Seclusi verba ʹΗρόδοτος ἐν ϛʹ, quæ ex alia glossa huc illata videntur: neque enim legitur hoc verbum apud Herodotum. Ad præcedentem glossam (ἀπορώτατος) referri volebat Wesseling ad Herodot. 6, 44., ubi est βορῆς ἄνεμος μέγας τε καὶ ἄπορος: quæ non improbabilis conjectura est.

9. ἐν ϛʹ] ἐν ϛ^ω F. ἐν τῇ ἕκτῃ Ald.

10. ἀπελευθερώσασιν] ἐλευθερώσασιν B.C.G.

11. τε] τι B.C.F. Ald.

— αὐτῶν] Reliquam glossæ partem om. C.

14. ἤδε] Quod in Epitome legitur λοιπόν Epitomatoris est, non Harpocrationis.

15. ʹΥπερείδῃ] ὑπερίδης A.F.

16. ʹΑριστοτέλης] Hoc loco Harpocratio rursus utitur s.v. πολέμαρχος.

— δ' om. B.

γράφει ταυτί· "οὗτος δὲ εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ "ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων."

Ἀποστησάμενον: ἀντὶ τοῦ πρὸς σταθμὸν παραλαβόντα Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον.

Ἀποστολεῖς: οἱ ἐπὶ τῆς ἐκπομπῆς τῶν τριήρων ἀποδεδειγμένοι· Δημοσθένης ὑπὲρ Κτησιφῶντος καὶ Φιλόχορος ἐν ζ´. Ἀπόστολοι δ᾽ εἰσὶν αἱ τῶν νεῶν ἐκπομπαί· ὁ αὐτὸς ῥήτωρ ἐν α´ Φιλιππικῶν.

Ἀποστροφήν: ἀντὶ τοῦ καταφυγὴν Δημοσθένης Φιλιππικοῖς.

Ἀπόταξις: τὸ χωρὶς τετάχθαι τοὺς πρότερον ἀλλήλοις συντεταγμένους εἰς τὸ ὑποτελεῖν τὸν ὡρισμένον φόρον· Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρᾳκῶν φόρου.

Ἀποτιμηταί καὶ Ἀποτίμημα καὶ Ἀποτιμᾶν καὶ τὰ ἀπ᾽ αὐτῶν. οἱ μισθούμενοι τοὺς τῶν ὀρφανῶν οἴκους παρὰ τοῦ ἄρχοντος ἐνέχυρα τῆς μισθώσεως παρείχοντο· ἔδει δὲ τὸν ἄρχοντα ἐπιπέμπειν τινὰς ἀποτιμησομένους τὰ ἐνέχυρα. τὰ μὲν οὖν ἐνέχυρα τὰ ἀποτιμώμενα ἐλέγοντο ἀποτιμήματα, οἱ δὲ πεμπόμενοι ἐπὶ τῷ ἀποτιμήσασθαι ἀποτιμηταί, τὸ δὲ πρᾶγμα ἀποτιμᾶν. εἰώθεσαν δὲ καὶ οἱ

5. 'ΑΠΟΣΤΟΛΕΙ͂Σ] ἀποστολῆs D. τριήρων] τριηρῶν E.T.D. 6. Δ.—ζ om. 7. εἰσὶν om. ἐκπομπαί. οὕτω Δημοσθένης τὸ μὲν ἐν τῷ ὑπὲρ Κτησιφῶντος, τὸ δὲ ἐν πρώτῳ Φιλιππικῶν:— 8. 'ΑΠΟΣΤΡΟΦΗ'. ἀντὶ τοῦ καταφυγή (καταστροφή Suidas et Zonaras p. 244, sed καταφυγή recte Seg. p. 436, 27.):— E.T. Φιλιππικοῖς] ἐν φιλιππικοῖς D. 10. ὑποτελεῖν] ὑπηρετεῖν 11. περὶ] ὑπὲρ 14. ἔδει—τὰ ἐνέχυρα] καὶ ὁ ἄρχων πέμπων τινὰς ἀπετιμᾶτο ταῦτα Seg. p. 437, 17. ἐπιπέμπειν] πέμπειν 15. τιμησομένους τὰ ἐνέχυρα. καὶ ἐλέγοντο τὰ μὲν ἐνέχυρα ἀποτιμήματα, οἱ δὲ ἀποτιμησάμενοι ἀποτιμηταί, τὸ δὲ ἔργον (ἡ δὲ πρᾶξις καὶ τὸ ἔργον Seg.) ἀποτιμᾶν. καὶ οἱ προῖκα γυναικὶ γαμουμένῃ διδόντες ᾔτουν παρὰ τοῦ ἀνδρὸς ὑπὲρ τῆς προικὸς ἐνέχυρον οἰκίαν ἢ χωρίον ταύτης ἄξιον. ἐλέγετο δὲ

2. ἀπροστασίου] προστασίου Ald.
3. Δημοσθένης] p. 1199, 24.
5. τριήρων] τριηρῶν E.T. Ald. et haud dubie alii libri. τριήρεων C.
6. Δημοσθένης] p. 262, 18.
— καὶ om. C. καὶ—Φιλιππικῶν om. A.
—ζ´] ζ^ω F. τῇ ἑβδόμῃ Ald.
7. ὁ—Φιλιππικῶν om. C.
— ὁ αὐτὸς] p. 50, 8.
8. Δημοσθένης] p. 42, 22.
— Φιλιππικοῖς] ἐν φιλιππικοῖς D. φιλιππικῷ B.C.F.
10. ὑποτελεῖν] ὑπηρετεῖν A.N. et margo M. cum Epitome.
12. καὶ τὰ ἀπ᾽ αὐτῶν om. A. F. Ald.
13. τοὺς—οἴκους ex Epitome restitutum pro τὰς—οἰκίας.
14. ἐπιπέμπειν] ἀποπέμπειν C.
— ἀποτιμησομένους] τιμησομένους A F. cum Epitome.
15. ἀποτιμώμενα N. ἀποτιμούμενα ceteri.
16. ἀποτιμήματα] ἀποτιμούμενα F.
— ἐπὶ τῷ] ἐπὶ τὸ B.

τότε, εἰ γυναικὶ γαμουμένῃ προῖκα διδοῖεν οἱ προσήκοντες, αἰτεῖν παρὰ τοῦ ἀνδρὸς ὥσπερ ἐνέχυρόν τι τῆς προικὸς ἄξιον, οἷον οἰκίαν ἢ χωρίον. ἐλέγετο δὲ ὁ μὲν δοὺς τὸ ἀποτίμημα ἐνεργητικῶς ἀποτιμᾶν, ὁ δὲ λαβὼν ἀποτιμᾶσθαι. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων ὀφλημάτων· Δημοσθένης ἐν τῷ κατ' Ὀνήτορος β' καὶ Λυσίας ἐν τῷ πρὸς Διογένην ὑπὲρ μισθώσεως οἴκου, εἰ γνήσιος.

Ἀπόταφος: ἀντὶ τοῦ ἀπεστερημένος τῶν προγονικῶν τάφων Δείναρχος ἐν τῇ κατ' Ἀγασικλέους εἰσαγγελίᾳ.

Ἀποτειχίσαι: τὸ ἀπολαβεῖν τείχει καὶ ἀποκλεῖσαι τῆς ἐξόδου, Ἀποτετειχισμένος δὲ ὁ ἀπειλημμένος καὶ ἀποκεκλεισμένος τῷ τείχει· Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ καὶ Θουκυδίδης.

Ἄπο τοῦ πράγματος: ἀντὶ τοῦ ἄπωθεν Δημοσθένης κατ' Ἀνδροτίωνος.

Ἀπόφασις: τὸ ἀποφαίνειν διὰ γραμμάτων κατὰ μέρος ὁπόσην οὐσίαν ἔχει, ὅπερ ἐν ταῖς ἀντιδόσεσι μάλιστα γίνεται· Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον πολλάκις. ἅπαξ μόνον Ἀπογραφὴν τὸ αὐτὸ τοῦτο κέκληκεν.

4. ὀφειλημάτων, ὡς καὶ Δημ.—δευτέρῳ:— 7. ἈΠΌΤΑΦΟΣ (ἄταφος D.) ὁ ἀπεστερημένος—τάφων. οὕτως Δείναρχος:— 9. ἀπολαβεῖν τειχίον] λαβεῖν (ἀποβαλεῖν D.) τειχίον (τείχη D.) καὶ ἀποτειχίσαι (καὶ ἀποτειχίσαι om. D.) καὶ ἀποκλεῖσαι (καὶ ante ἀποκλεῖσαι om. Suidas, καὶ ἀποκλεῖσαι om. Seg. p. 437, 27.) 10. καὶ ἈΠΟΤΕΤΕΙΧΙΣΜΈΝΟΣ ὁ—τείχει. οὕτως Ἀντιφῶν καὶ Θουκυδίδης:— 13. ἌΠΟ] ἀπὸ D. ἀντὶ τοῦ om. D. ἄποθεν (ἄπωθεν deteriores libri Suidæ):— 15. τὸ—γίνεται post Φαίνιππον, omisso πολλάκις. 17. ἅπαξ—κέκληκεν] καλεῖ δὲ αὐτὸ καὶ ἀπογραφήν.

1. διδοῖεν] ἀποδιδοῖεν B. C. G. unde fortasse ἐπιδιδοῖεν scribendum cum Bekkero.

3. δοὺς] διδοὺς A

4. ὀφλημάτων] ὀφειλημάτων A. F. N. cum Epitome. ὀνομάτων Sauppius Fragm. Orat. p. 185.

5. Δημοσθένης] p. 876, 20.

— Λυσίας ἐν τῷ—οἴκου] Oratio diversa, ut videtur, ab ea quam Harpocratio aliquoties citat πρὸς Διογένην περὶ χωρίου: vid. Saupp. l. c. p. 184.

6. γνήσιος] ὁ λόγος addit Ald.

9. ἀπολαβεῖν] λαβεῖν A. F. cum Epitome, βαλεῖν N.

9. τείχει] τείχη A.B.C.N.

11. τὴν om. C.F.

— Δημοσθένους] δημοσθένην C. δρόμους F., de qua nominis corruptela diximus s. v. Ἀγνοῦς.

— γραφὴν ἀπολογίᾳ om. A.B.C.F. Ald. Addidit Maussacus.

12. Θουκυδίδης] 1, 64. 65. 8, 26.

13. ἄπωθεν A. et Ald. Alii ἄποθεν.

— κατ' Ἀνδροτίωνος] Immo κατὰ Τιμοκράτους p. 701, 22.

16. Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον] p. 1039, 2, et alibi.

17. Φαίνιππον] φίλιππον B.C.

— ἅπαξ] p. 1043. extr.

— τὸ αὐτὸ om. C.

Ἀποφοράν: ἀντὶ τοῦ ἀπενεγκεῖν καὶ διάστημα ποιῆσαι μεταξὺ Ἰσαῖος ἐν τῷ πρὸς ὀργεῶνας, ἐν ᾧ φησὶν οὕτως "εἴπερ γοῦν ὥριζον "ταῖς ἀποφοραῖς ταύταις τῶν ποδῶν ἀλλότριον εἶναι τὸ χωρίον."

Ἀποψηφίζονται: ἀντὶ τοῦ καταδικάζουσιν αὐτὸν μὴ εἶναι πολίτην Δείναρχος ἐν τῷ κατ' Ἀρχεστράτου. καὶ Ἀποψήφισιν δὲ τὸ πρᾶγμα λέγει Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει.

Ἀπροβούλευτον: τὸ μὴ πρότερον εἰς τὴν βουλὴν, ἀλλ' εὐθὺς εἰς τὸν δῆμον εἰσφερόμενον ψήφισμα. ἐν τῷ κατ' Ἀνδροτίωνος νόμος παράκειται ταῦτα δηλῶν.

Ἀπρόσκλητον: τὴν οὐ προσκεκλημένην Ὑπερείδης ἐν τῷ κατ' Ἀθηνογένους β'.

Ἀπροστασίου: εἶδος δίκης κατὰ τῶν προστάτην μὴ νεμόντων μετοίκων· ᾑρεῖτο γὰρ ἕκαστος ἑαυτῷ τῶν πολιτῶν τινὰ προστησόμενον περὶ πάντων τῶν ἰδίων καὶ τῶν κοινῶν. Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρας ἀπροστασίου β'.

Ἀπρότων: Δείναρχος ἐν τῷ κατὰ Πυθέου "ἐμπεπηδηκότων τῶν

2. οὕτως Ἰσαῖος:— 4. ἈΠΟΨΗΦΙ'ΖΟΝΤΑΙ. Δείναρχος—Ἀρχεστράτου. ἀντὶ τοῦ κατ.—πολίτην. καὶ τὸ πρᾶγμα δὲ Δ. ἀποψήφισιν καλεῖ:— 8. εἰσαχθὲν ψήφισμα. οὕτως Δημοσθένης:— 10. προσκεκλημένην] Nihil præter syllabam προσ habet D. Ὑπερίδης—β' om. E.T., habet D. 12. εἶδός ἐστι δίκης κατὰ τῶν μὴ νεμόντων προστάτην μέτοικον (προστατεῖν μετεῖκον E.T.) καὶ γὰρ ἕκαστος αὐτῶν ᾑρεῖτό τινα τῶν πολιτῶν τὸν προστησόμενον αὐτῷ περὶ—κοινῶν:— 16. Πυθαίου (Πυθέου apud Suidam, non Seg. p. 440, 28.) ἐκπεπηδηκότων

1. ἀντὶ] ἐπὶ A.F. Ald.

— διάστημα] διάστομα A.B.F. Ald.

2. ὀργεῶνας] ὀργαιῶνα C. ὀργαίωνα B.F.M. Ald. ὀργαίονα A.

— γοῦν om. B.C.

3. τῶν ποδῶν] Conf. quæ s. v. εἰσεπόδιζον ex eadem Isæi oratione attulit Harpocratio.

5. Ἀρχεστράτου] ἀρχεκράτου B.F. ἀρχεκράτους C.G. ἀριστοκράτους A. Ald. ἀποστασίου πρὸς Ἀρχέστρατον hæc oratio inscripta fuit secundum Dionys. Hal. vol. 6. p. 662. Quæ oratio diversa ab ea quam Harpocratio citat esse videtur Meiero de bonis damn. p. 36. 102.

6. Δημοσθένης] p. 1299, 17.

6. ἐν] καὶ C.

7. τὴν om. B.F.

8. ἐν τῷ κατ' Ἀνδροτίωνος] p. 594.

13. ἑαυτῷ] αὐτῶν F.

— προστησόμενον] προστησάμενον A.B. Totam gl. om. C.

15. Ἀρισταγόρας] ἀρισταγόρα F. ἀρισταγόρου A.B. Ald.

16. ἈΠΡΟ'ΤΩΝ] Ad locum hunc Dinarchi spectant duæ aliorum grammaticorum glossæ, altera in Bekk. Aneid. p. 441, 1. ἄπροτον: οἱ μὲν εἶδος εἶναι κυγχυλίου φασὶν, οἱ δὲ ἀκρίδων, οἱ δὲ μελιττῶν. ἕκαστον δὲ τούτων ἀγεληδὸν νέμεται. καὶ οἱ μὲν τὰ ἄνθη, οἱ δὲ τοὺς καρποὺς, οἱ δὲ τὰ ποώδη σίνουσιν· ἀφ' ὧν καὶ τοὺς κατὰ συμμορίαν κακούργους ἀπρότους ὠνόμα-

"ῥητόρων ὥσπερ ἀπρότων εἰς τὸ ἐμπόριον." μήποτε γραφικὸν ἁμάρτημα, καὶ δεῖ γράφειν "ὥσπερ λῃστῶν." ἐν τισὶ δὲ γέγραπται "ὥσπερ παρνόπων" εἰσὶ δ' οἱ πάρνοπες εἶδος ἀκρίδος.

Ἀραφήνιος: Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους. δῆμός ἐστι φυλῆς τῆς Αἰγηΐδος.

Ἀργᾶς: Αἰσχίνης περὶ τῆς ἀποδόσεως. πιθανώτερόν ἐστι λέγειν

1. *μήποτε—λῃστῶν* om. 2. *γέγραπται* post *παρνόπων* 3. *εἰσὶ δ' οἱ*] *οἱ δὲ* 4. ἈΡΑΦΗ΄ΝΙΟΣ. *δῆμος* (*φυλῆς τῆς* addit D.) *Αἰγηΐδος*:— 6. *Αἰσχ.—ὅτι* om.

σαν. altera Etym. M. p. 4, 25. *ἀβρότων: κογχυλίου* (*κοχλιου* cod. Dorvill.) *εἶδος· οἱ δὲ ἀκρίδων, αἵτινες πολλαὶ γενόμεναι τοὺς καρποὺς διαφθείρουσιν· οἱ δὲ μελιττῶν· οἱ δὲ ἀπρότων φασίν, ὅ ἐστιν ἀντὶ τοῦ λῃστῶν.* Quæ iisdem fere verbis leguntur in Lex. rhet. in Bekk. Anecd. p. 204, 23, ubi post *κογχυλίου εἶδος* additum *πολλάκις δὲ αὐτὰ ἀγεληδὸν νέμονται*, et in fine scriptum *οἱ δὲ ἀπρότων φασὶν εἶναι ἀντὶ τοῦ λῃστῶν.* Videtur igitur mirum hoc vocabulum in uno illo inventum esse loco Dinarchi, de quo fortasse recte judicarunt qui ex *παρνόπων* corruptum esse conjecerunt, quocum comparari potest quod dixit Aristophanes Ach. 150, *καὶ τὸν πατέρ' ἠντιβόλει βοηθεῖν τῇ πάτρᾳ· | ὁ δ' ὤμοσε σπεύδων βοηθήσειν, ἔχων | στρατιὰν τοσαύτην ὥστ' Ἀθηναίους ἐρεῖν, | ὅσον τὸ χρῆμα παρνόπων προσέρχεται.*

P. 53, 16. *Πυθέου*] *πυθίου* C.

P. 54, 1. *ἁμάρτημα*] *τὸ ἁμάρτημα* B. Quæ sequuntur om. C.

2. *λῃστῶν*] Libri *ἀλησίπων*, nisi quod in A. *ἀληπίσων*, quod cum spiritu leni scriptum et quattuor punctis (∴) super *λη* positis notatum in M. Correxit Hemsterh. collato Etym. M. loco supra ab nobis apposito.

3. *ὥσπερ*] *ὡς* A.

4. ἈΡΑΦΗ΄ΝΙΟΣ—*Αἰγηΐδος* om. C.

6. *περὶ τῆς ἀποδόσεως* (*ἀνταποδόσεως* A.)] Immo *περὶ τῆς παραπρεσβείας* p. 41, 23. *ἐκ παίδων δὲ ἀπαλλαττόμενος* (Demosthenes) *καὶ δεκαταλάντους δίκας ἑκάστῳ τῶν ἐπιτρόπων λαγχάνων Ἀργᾶς ἐκλήθη.* *περὶ τῆς ἀπολογίας* Valesius, collato v. *ἱκετηρία*, ubi *Αἰσχίνης ἐν τῇ ἀπολογίᾳ* citatur, scholiastaque Hermogenis vol. 4. p. 442. vol. 7. p. 354. ubi Æschines *παραπρεσβείας ἀπολογίαν* scripsisse dicitur. Memorabilis de hoc v. glossa est Seg. p. 442, 30. *Ἄργας* (hoc accentu): *ὁ δεινότατος παρ' ἡλικίαν ἄργας καλεῖται. οὕτως ἔλεγον καὶ τὸν Δημοσθένην. ἄλλοι δέ φασι τοῦτον κακὸν ποιητὴν γεγονέναι. οἱ δὲ ὅτι κατὰ Δωριεῖς καὶ μάλιστα Ἀργεῖοι τὸν ὄφιν ἄργαν ἐκάλουν. Τίμαρχος δὲ ὁ Ῥόδιος οὐ κατὰ γλῶτταν οὕτω καλεῖσθαί φησιν, ἀλλὰ γένος εἶναι ὄφεως τοὺς ἄργας.* Eadem apud Suidam, ab initio sic scripta, *Ἀργάς: ὁ—ἀργὰς καλεῖται. ἄλλοι δὲ τὸν δεινότατον καὶ θηριώδη τὸν τρόπον καὶ μάλιστα Ἀργεῖοι τὸν ὄφιν ἀργὰν ἐκάλουν.* quæ iisdem fere verbis concepta leguntur in Harpocrationis codicibus B.C.G. ultimis hujus glossæ verbis *τὸ ἀργᾶν ἐπίθετον* subjecta, *ἀργᾶς* (*ἀργὰς* C.) *ὁ δεινότατος παρ' ἡλικίαν ἀργὰς καλεῖται. ἄλλοι δὲ τὸν δεινότατον καὶ θηριώδη τὸν τρόπον. καὶ μάλιστα ἀργεῖοι τὸν ὄφιν ἀργᾶν ἐκάλουν.* Quæ ex integriore Harpocrationis libro derivata videri possunt, quum præsertim illud *πιθανώτερόν ἐστι λέγειν*, nisi quis *πιθανώτατον* scribi velit, alius opinionis mentionem præcessisse

ὅτι Δωριεῖς, μάλιστα δ' Ἀργεῖοι, τὸν ὄφιν ἀργᾶν ἐκάλουν, ὡς Ἀχαιὸς ἐν Ἀδράστῳ. Τιμαχίδας δὲ ὁ Ῥόδιος οὐ κατὰ γλῶτταν καλεῖσθαι τὸν ὄφιν ἀργᾶν φησὶν, ἀλλὰ γένος τι εἶναι ὄφεως τοὺς ἀργᾶς· λέγεσθαι οὖν εἰκὸς τὸν Δημοσθένην, ἐπιτροπῆς τοῖς ἐπιτρόποις δίκας λαγχάνοντα, ὄφιν διὰ τὸ θηριῶδες. καὶ αὐτὸς τοὺς τοιούτους ὄφεσιν εἰκάζει ἐν τῷ κατ' Ἀριστογείτονος. ἐν μέντοι τοῖς Ἀττικιανοῖς ἐγέγραπτο "ἅρπαξ." ἔνιοι δὲ τοῦ δράκοντος εἶναί φασι τὸ ἀργᾶν ἐπίθετον.

Ἄργουρα: Δημοσθένης κατὰ Μειδίου. ἔστι δὲ πόλις τῆς Εὐβοίας ἐν τῇ Χαλκιδικῇ κειμένη, ὡς Ἀριστοτέλης ὁ Χαλκιδεὺς ἐν τῷ περὶ Εὐβοίας.

Ἀργυριοθήκη: Δείναρχος ἐν τῷ κατὰ Προξένου βλάβης. διτ-

1. μάλιστα δ'] καὶ μάλιστα ὡς—Ἀδράστῳ om. 2. Τίμαρχος—γλῶτταν οὕτω καλεῖσθαί φησιν 3. τι om. ὄφεων ἀργάς:— 9. "ΑΡΓΟΥΣΑ, in quo vitio consentiunt Suidas et Seg. p. 443, 18. In D. est ἀργούσαρα. Δ.—δὲ om. 10. κειμένη:— 12. ἈΡΓΥΡΙΟΘΗ'ΚΗ] ἀγυρὶς θήκη E.T., in quo consentiunt Suidas et Seg. p. 443, 6. ἀργυροθήκη D. Δ.—βλ. om.

arguat. Veterum interpretum dissensus notatus etiam in scholiis in Æschinem p. 61, 14. cd. Oxon. ἀργᾶς καλεῖται ὁ ὄφις παρὰ Δωριεῦσι· θέλει οὖν αὐτὸν ὀφιώδη τὸν τρόπον δεῖξαι καὶ οἱονεὶ θηριώδη καὶ ἀπάνθρωπον. εἶδός τι ὄφεως ἀναιρετικοῦ. ἢ ὁ ἀργῶν ἀπὸ τῶν ἄλλων, γράφων δὲ λόγους. et in alio scholio, ἢ ἀργᾶς ὁ πονηρός· ἔστι γὰρ εἶδος ὄφεως ἀναιρετικοῦ. οἱ δὲ ἀπὸ ποιητοῦ τινὸς πονηροῦ οὕτω καλουμένου. Ἀργᾶν, vilium modorum poetam, memorat Athen. 4. p. 131 b. 14. p. 638 c. ex Anaxandride et Alexide, de quo non cogitandum apud Æschinem. Hesychius, Ἀργάς: ὄφις. καὶ ποιητὴν μοχθηρὸν Ἀργᾶν ἐκάλουν. καὶ Δημοσθένης ὑπὸ Αἰσχίνου Ἀργὰς ὀνομάζεται. οἱ δὲ ὄνομα τυράννου.

1. ἐκάλουν] καλοῦσιν C.G.

— Ἀχαιὸς] Ex hoc loco Achæi, ut videtur, Hesychius, Ἄργην (sic) ἔπεφνεν: ὄφιν. ἔστι δὲ ἐπίθετον δράκοντος.

2. Τιμαχίδας Maussacus. Legebatur Τίμαρχος.

3. ἀργᾶν om. B.

3. ὄφεως] ὄφεων A.B. Ald. cum Epitome.

4. ἐπιτροπῆς] ἐπιτρόπων B.F.

5. διὰ] παρὰ F.

6. κατ' Ἀριστογείτονος] p. 786, 4.

7. τὸ (τὸν A.B.M.) ἀργᾶν ἐπίθετον] ἐπίθετον τὸ ἀργᾶν C.

9. Δημοσθένης] p. 558, 4. 567, 18. In vitiosa Epitomes scriptura Ἄργουσα consentiunt F. Ald.

— κατὰ] ἐν τῷ κατὰ B.F.

— δὲ om. F.

10. Ἀριστοτέλης ὁ Χαλκιδεὺς ἐν τῷ περὶ Εὐβοίας] Aristotelem quendam rerum Euboicarum scriptorem, sed omisso patriæ nomine, memorat schol. Apoll. Rh. 1, 588. (Σουίδας καὶ Ἀριστοτέλης οἱ περὶ Εὐβοίας πεπραγματευμένοι). Frequentior Dionysii Chalcidensis mentio est, quem ipsum quoque de Eubœa dixisse in Κτίσεσι novimus ex schol. Apoll. Rh.

12. ἈΡΓΥΡΙΟΘΗ'ΚΗ] ἀργυροθήκη A.M. Quæ forma est apud Pollucem locis infra afferendis. ἀργυρὶς θήκη Ald.

— βλάβης] λαβῆς B.C.F. Ald. περὶ λαβῆς A.

τὰ ἦν γραμματείδια οἷς ἐχρῶντο Ἀθηναῖοι, τὰ μὲν ὥστε γράφειν μόνον τι ἐν αὐτοῖς, τὰ δὲ ὥστε καὶ ἀργυρίδιον κατατίθεσθαι, ἅπερ καὶ κιβώτια ἐκάλουν, τὰ δ' ἄλλα καὶ δίθυρα.

Ἀργυρῖτις γῆ καὶ χρυσῖτις: ἡ ἐργαζομένη χρυσὸν καὶ ἄργυρον.

Ἀργυροκοπεῖον: Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. ὅπου κόπτεται τὸ νόμισμα· ὃ νῦν σημαντήριόν τινες καλοῦσιν.

Ἀργινοῦσαι: νῆσοι κείμεναι ἔναντι τῆς Λέσβου, ἀπὸ Ἀργίνου τινός.

Ἀργυρόποδα δίφρος: ὁ Ξέρξου, ὃς αἰχμάλωτος ἐπεκαλεῖτο, ἐφ' οὗ καθεζόμενος ἐθεώρει τὴν ναυμαχίαν. ἀνέκειτο δὲ εἰς τὸν παρθενῶνα τῆς Ἀθηνᾶς.

Ἀργαῖος: Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. περὶ τούτου καὶ Θεόπομπος ἐν τῷ α' τῶν Φιλιππικῶν λέγει "τὸν Ἀρχέλαον κα-" λοῦσι καὶ Ἀργαῖον καὶ Παυσανίαν."

Ἀριοβαρζάνης: σατράπης Φρυγίας ἀποδειχθεὶς οὗτος παρὰ

1. γραμματίδια 2. μόνον ἑαυτοῖς ἅπερ] ἃ 4. 'ΑΡΓΥΡΙ῀ΤΙΣ—ἄργυρον om. Suidæ hæc verba præfixo καὶ illata sunt ab interpolatore loco alieno s. v. ἀργυρὶς θήκη ante διττά: unde illic habet Ald. Non habet Seg. 5. 'Αντ.—ὅπου] ἐν ᾧ 6. τινὲς post νῦν. (τινὲς om. D.) 7. 'ΑΡΓΙΝΟΥ῀ΣΑΙ—τινός om. 9. 'ΑΡΓΥΡΟ'ΠΟΔΑ ΔΙ'ΦΡΟΝ. ὁ Ξέρξου δίφρος, ὃς αἰχμάλωτος ἐπεκαλεῖτο. ἀνέκειτο δὲ 12. 'ΑΡΓΑΙ῀ΟΣ—Παυσανίαν om.

1. γραμματείδια C.F.N. Ceteri γραμματίδια.

2. αὐτοῖς] ἑαυτοῖς A., ut Epitome.

— ἀργυρίδιον] ἀργύριον G.

3. καὶ om. B.

— κιβώτια] βοιώτια N. Simili vitio apud Polluc. 4, 19. γραμματεῖον δὲ παρὰ τοῖς 'Αττικοῖς καὶ ἐν ᾧ ἀργύριον ἀπέκειτο, ὃ καὶ γραμματεῖον βοιώτιον (ὃ καὶ κιβώτιον recte corrigitur ex Harpocrat.) ἐκάλουν· οἱ δὲ νεώτεροι αὐτὸ καὶ ἀργυροθήκην ὠνόμαζον. ἀργυροθήκην, quod ἀργυριοθήκην potius scribendum cum Sauppio Fragm. p. 335, idem ex Antiphane memorat 10, 152. et ἀργυροθήκη Hesych. exp. τὸ ἀργύριον (ἀργύρινον Mauss.) γραμματεῖον. Idem ἀργύρινον· γραμματεῖον, ὃ καὶ βοιωτικὸν (i e. ὃ καὶ κιβώτιον) καὶ κοῖλον λέγεται.

3. καὶ δίϐυρα Hemsterh. in annot. ad h. l. et in Obs. Misc. vol. 5. p. 19. Legebatur μαρτύρια veteri vitio, in quo consentit Epitome cum eaque Suidas et, ubi μαρσύπια substituit Bekkerus, Seg. p. 443, 9.

5. 'ΑΡΓΥΡΟΚΟΠΕΙ῀ΟΝ] ἀργυροκόπιον N.

6. σημαντήριον] σήμαντρον B.C.F.G.

7. 'ΑΡΓΙΝΟΥ῀ΣΑΙ] ἀργινοῦσσαι C.

— Λέσβου] λεύκου F.

9. αἰχμάλωτος] αἰσχάλωτος A.

— ἐφ'] ἐξ B.C.F.G.

12. Δημοσθένης] p. 660.

13. λέγει] φησὶ C.

— 'Αρχέλαον Gronovius. ἀγγέλαον A.C. ἀγέλαον B. ἀγγέλεων Ald.: unde 'Αρχέλεων Valcken. Diatr. in Eurip. p. 111.

14. καὶ 'Αργαῖον] καὶ om. C.

15. ἀποδειχθεὶς] ὑποδειχθεὶς C.

Ἀρταξέρξου ἀπέστη, ὃς καὶ ἀποστείλας λαὸν τοὺς πολεμήσοντας αὐτῷ καὶ χειρωσάμενος ἐσταύρωσεν.

Ἀρδηττός: Λυσίας ἐν τῷ πρὸς Ἐλπίνην. τόπος Ἀθήνησιν ὑπὲρ τὸ στάδιον τὸ Παναθηναϊκὸν, πρὸς τῷ δήμῳ τῷ ὑπένερθεν Ἀγρυλέων. ἐν τούτῳ, φασὶ, δημοσίᾳ πάντες ὤμνυον Ἀθηναῖοι τὸν ὅρκον τὸν ἡλιαστικόν. ὠνομάσθη δὲ ἀπὸ Ἀρδήττου ἥρωος ἀρχαίου, ὃς Ἀθηναίους πρῶτος ἐξώρκισεν. Θεόφραστος δ' ἐν τοῖς περὶ νόμων δηλοῖ ὡς κατελέλυτο τὸ ἔθος τοῦτο.

Ἀρετή: ἀντὶ τοῦ εὐδοξία Ἀνδοκίδης καὶ Θουκυδίδης ἐν α'.

Ἄρθμιος: ὄνομα κύριον, δοῦλός τινος βασιλέως.

Ἀριστεύς: ὄνομα καὶ τοῦτο κύριον.

Ἀρίστυλλα: Ἀριστογείτονος ἦν ἀδελφή.

Ἀριστίων: Ὑπερείδης κατὰ Δημοσθένους. οὗτος Σάμιος μέν

3. ἌΡΔΗΤΟΣ: τόπος ἐστὶν Ἀθήνησιν ἐν ᾧ πάντες Ἀθηναῖοι δημοσίᾳ ὤμνυον τὸν ὅρκον τὸν (ὅρκον τὸν om. D.) ἡλιαστικόν. Θεόφραστος—νόμων καταλελύσθαι τὸ ἔθος τοῦτο λέγει:— (Hucusque etiam Suidas: alia aliunde petita adjunxit Seg. p. 443, 27.) 9. ἈΡΕΤΗ' (ἀρετῇ T.) Ἀνδοκίδης καὶ Θουκυδίδης ἀντὶ τοῦ εὐδοξία:— E.T.D. ἀρεταὶ Θουκυδίδης καὶ Ἀνδοκίδης ἀντὶ τοῦ εὐδοξία:— Z. 10. ἌΡΘΜΙΟΣ. ὄνομα κύριον:— 11. καὶ τοῦτο om. 12. ἈΡΙ'ΣΤΥΛΛΑ—ἀδελφή om. 13. ἈΡΙΣΤΙ'ΩΝ (Ἀρισταίων Seg. p. 444, 19.) ὡσαύτως. ἔστι δὲ Σάμιος μὲν ἢ Πλαταιεὺς, ἐκ μειρακυλλίου δὲ ἑταῖρος Δημοσθένους—διαλλαγῶν. μνημονεύει δὲ αὐτοῦ Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους:— Non habet hanc gl. Suidas.

1. Ἀρταξέρξου Meier. de bonis damn. p. 55. Legebatur Ξέρξου.

3. ἈΡΔΗΤΤΟ'Σ Suidas (non Seg. p 443, 24.)] Scribebatur Ἄρδηττος. Duplici accentu ἄρδηττός N. Vid. Saupp. de demis urbanis Athen. p. 21.

— Ἐλπίνην B.C.F.M.O. Legebatur Λεπτίνην.

4. Ἀγρυλέων Valesius. Libri ἀργυλέων.

7. ἐξώρκισεν Jungerm. ad Polluc. 8, 122. Libri ἐξώρισεν.

— κατελέλυτο A. καταλέλυται F. καταλύεται B.C. Legebatur καταλέλυτο.

9. Verba Ἀνδοκίδης καὶ addidi ex Epitome.

—α'] πρώτῳ Ald. α̃ C.F. Est c. 33.

10. ἌΡΘΜΙΟΣ] ἀρίθμιος O. et pr. A. De Arthmio Zelita dixi ad Demosth. vol. 5. p. 190 seqq., ex quibus apparebit quo sensu δοῦλος dicatur.

10. δοῦλός τινος βασιλέως] Regis Persarum, hominis non tam obscuri ut τινος scripsisse Harpocrationem probabile sit, quod in τις mutari voluit Bekkerus. Verum hoc quoque non satis verisimile. Mihi τινος a breviatore positum videtur qui hanc glossam decurtavit. Nam Harpocrationem credibile est de Arthmio, de quo tot verba fecerunt oratores, plura dixisse quam nunc hic leguntur.

11. καὶ τοῦτο om. F. cum Epitome.

13. Ὑπερίδης] Hyperides cur Aristionem memoraverit docet Æschines p. 76, 37. ab Tayloro comparatus, ubi Ἀριστίων Πλαταϊκὸς dicitur.

ἐστιν ἡ Πλαταιεύς, ὡς Δίυλλός φησιν, ἐκ μειρακυλλίου δ' ἑταῖρος Δημοσθένους, ἐπέμφθη δ' ὑπ' αὐτοῦ πρὸς Ἡφαιστίωνα ἕνεκα διαλλαγῶν, ὥς φησι Μαρσύας ἐν ε' τῶν περὶ Ἀλέξανδρον.

Ἀρκτεῦσαι: Λυσίας ἐν τῷ ὑπὲρ Φρυνίχου θυγατρός, εἰ γνήσιος, τὸ καθιερωθῆναι πρὸ γάμων τὰς παρθένους τῇ Ἀρτέμιδι τῇ Μουνυχίᾳ ἢ τῇ Βραυρωνίᾳ. τὰ δὲ συντείνοντα εἰς τὸ προκείμενον εἴρηται παρά τε ἄλλοις καὶ Κρατερῷ ἐν τοῖς Ψηφίσμασιν. ὅτι δὲ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται, Εὐριπίδης Ὑψιπύλῃ, Ἀριστοφάνης Λημνίαις καὶ Λυσιστράτῃ.

Ἀρκτοῦρος καὶ Ἀρκτοφύλαξ: ὁ Βοώτης ὀνομαζόμενος· Λυσίας ἐν τῷ κατὰ Φιλίππου ἐπιτροπῆς. ἰδίως δὲ ὁ ὑπὸ τὴν ζώνην αὐτοῦ ἀστήρ· Ἄρατος καὶ Ἡσίοδος Ἔργοις δηλοῦσιν.

Ἀρκτωρός: Λυκοῦργος ἐν τῇ κατὰ Μενεσαίχμου εἰσαγγελίᾳ. ὁ τὰς ἄρκυς, τουτέστι τὰ λίνα, φυλάττων. ἄρκυς δὲ πάντα τὰ κυνηγετικὰ λίνα· Ξενοφῶν Κυνηγετικῷ, Κρατῖνος Θρᾴτταις.

Ἁρμοσταί: οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι, ὡς Ἐρατοσθένης ἐν τοῖς περὶ ἀγαθῶν καὶ κακῶν φησί· Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

4. ἐν—γνήσιος om. 5. τῇ Ἀρτέμιδι (τῇ Μουνυχίᾳ addit D.) ἀρκτεύειν ἔλεγεν. καὶ γὰρ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται, ὡς Εὐριπίδης καὶ Ἀριστοφάνης δηλοῖ:— 10. ἈΡΚΤΟΥ͂ΡΟΣ. λέγεται καὶ αὐτὸς ὅλος (ὅλως D.) ὁ Βοώτης, ἰδίως δὲ καὶ (καὶ om. Seg. p. 445, 21.) ὁ—ἀστήρ:— 13. ἈΡΚΥΩΡΟΣ. ὁ τὰς—λῖνα, φυλάττων. ἔστιν δὲ ταῦτα τὰ κυνηγετικὰ πάντα λῖνα:— (Rectis accentibus ἀρκυωρός et λίνα ap. Suidam, λίνα etiam in Seg. p. 445, 24.) 17. ἐκπεμπόμενοι:—

1. Δίυλλος] δ' ὕλλος A.B.F. Ald.

— δ' post μειρακυλλίου om. Ald.

2. Δημοσθένους] δημοσθένει B.

3. τῶν] τῷ A.B.F.

4. ὑπὲρ Φρυνίχου θυγατρὸς] Accuratius ὑπὲρ τῆς Φρυνίχου θυγατρός citatur s. v. δεκατεύειν, et περὶ τῆς Ὀνομακλέους θυγατρός s. v. πεντακοσιομέδιμνοι et Ὑβάδαι.

5. πρὸ γάμων] πρὸ γάμον C. πρὸς γάμον B.F.G.

6. Βραυρωνίᾳ] βαυρωνίᾳ A. Ald. φαυρωνίᾳ B.C.F.

7. Κρατερῷ Maussacus. Libri κρατίνῳ. Cum psephismate hoc Meinek. ad Steph. Byz. p. 720. comparavit quæ Suidas s. v. ἄρκτος scriptore non nominato attulit ἐψηφίσαντο οἱ Ἀθηναῖοι μὴ πρότερον συνοικίζεσθαι ἀνδρὶ παρθένον εἰ μὴ ἀρκτεύσειε τῇ θεῷ.

7. αἱ om. B.

9. Λυσιστράτῃ] 645.

10. ὀνομαζόμενος] ἐπικαλούμενος N.

12. Ἄρατος] Phænom. 91.

— Ἔργοις] 566. 610.

13. ἈΡΚΥΩΡΟ'Σ] ἀρκύωρος B. F. N. Atticos ἀρκυωρός cum spiritu aspero dixisse testatur Eustath. ad Homer. p. 1535, 18.

14. δὲ] λέγονται Ald.

15. Κυνηγετικῷ] 2, 3.

— Θρᾴτταις] θρέτταις B. C. G. θρέπταις A.

18. Δημοσθένης] p. 258, 6.

Ἀρρηφορεῖν: Δείναρχος κατὰ Πυθέου. τέσσαρες μὲν ἐχειροτονοῦντο δι' εὐγένειαν ἀρρηφόροι, δύο δὲ ἐκρίνοντο, αἳ τῆς ὑφῆς τοῦ πέπλου ἦρχον καὶ τῶν ἄλλων τῶν περὶ αὐτόν. λευκὴν δ' ἐσθῆτα ἐφόρουν. εἰ δὲ χρυσία περιέθεντο, ἱερὰ ταῦτα ἐγίνετο.

Ἀρτεμισία: Δημοσθένης περὶ τῆς Ῥοδίων ἐλευθερίας. δύο γεγόνασιν αὗται, Καρικαὶ γένος καὶ βασιλίδες ἀμφότεραι, ἡ μὲν πρώτη κατὰ τὰ Περσικά, θυγάτηρ δ' ἦν Λυγδάμιδος, ἧς καὶ Ἡρόδοτος μνημονεύει. ἡ δὲ νεωτέρα, ἧς ὁ Δημοσθένης, θυγάτηρ μὲν ἦν Ἑκατόμνω, γυνὴ δὲ καὶ ἀδελφὴ Μαυσώλου, ἥν φησι Θεόπομπος φθινάδι νόσῳ ληφθεῖσαν διὰ τὴν λύπην τὴν ἐπὶ τοῦ ἀνδρὸς καὶ ἀδελφοῦ Μαυσώλου ἀποθανεῖν.

Ἀρτεμίσιον: ἰδίως τὸ τῆς Ἀρτέμιδος ἄγαλμα· Ὑπερείδης Δηλιακῷ. λέγεται δὲ καὶ ἀκρωτήριόν τι τῆς Εὐβοίας, ὡς Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

1. Δ. κατὰ Π. om. τέσσαρες] τέσσαρας E.T. et Seg. p. 446, 18. ubi Bekk. τέσσαρες. 2. δι' εὐγ. ἀρρ.] τῶν εὐγενῶν αἵτινες ἦρχον τῆς ὑφῆς τοῦ πέπλου 3. αὐτόν] αὐτήν Suidas et Seg. p. 446, 20. 5. Δ.—ἐλευθ. om. γεγόνασι Καρικαὶ—ἀμφότεραι, ὧν ἡ μὲν πρώτη γέγονε κατὰ τὰ Περσικά, ἡ δὲ νεωτέρα, ἧς καὶ Δημοσθένης ἐν τῇ (τῷ Suidæ codex Bruxell. et Seg. p. 448, 3.) περὶ τῆς Ῥοδίων ἐλευθερίας μνημονεύει—Ἑκατόμνου—ἀδελφὴ Μαυσώλου :— 13. ἈΡΤΕΜΙ΄ΣΙΟΝ. ἰδίως μὲν Ὑπερίδης πολλάκις (πολλάκις ὑπερίδης D.) ὠνόμασε τὸ τῆς Ἀρτέμιδος ἄγαλμα, λέγεται—Εὐβοίας, οὗ Δ. ἐν τῷ ὑπὲρ Κτ. μνημονεύει :— 14. τι om. Suidas, habet Seg. p. 448, 13.

1. ἈΡΡΗΦΟΡΕΓΝ] ἀρρηνοφορεῖν B. C. et Seg. p. 446, 18. in codice: nam Bekkerus ἀρρηφορεῖν scripsit.

— Πυθέου] πυθίου B.C.

2. ἀρρηφόροι] ἀρρηνοφόροι B.C.

— αἳ] οἳ C.

— τῆς—ἦρχον] διὰ τῆς—ἤρχοντο O.

4. εἰ δὲ ex Epitome pro καὶ εἰ.

5. ἐγίνετο] ἐγίνοντο A.C.F. Ald.

6. Δημοσθένης] p. 193. 197. 198.

8. δ' om. B.C.F.

— Λυγδάμιδος] Libri δάμιδος. Correxit Valesius ex Herodot. 7, 99. ubi Λυγδάμιος forma Ionica.

9. ὁ om. C.

— μὲν om. B.

10. ἑκατόμνου γυνὴ δὲ, ἀδελφὴ δὲ μ. C.

— Ἑκατόμνω] ἑκατόμνου C. Ald.: Ἑκατόμνω ex aliis restituit Bekkerus. Quæ forma nominis Isocrati p. 74 d. restituta ex cod. Urbinate, Photio Bibl. p. 83, 36. ex codice Marciano. Alia v. in Stephani Thes. ed. Paris. vol. 3. p. 362.

11. λύπην τὴν C.

— ἀδελφοῦ] τοῦ ἀδελφοῦ A.B.F.

12. Μαυσώλου om. B.

13. Ὑπερείδης N. Vulgo Ὑπερίδης.

— Δηλιακῷ om. B.C.F.

14. δὲ] δέ τι B.

— ἀκρωτήριόν τι] τι ἀκρωτήριον C.

— Δημοσθένης] p. 297.

ʻΑρύββας: Ἀλκέτου μὲν υἱὸς, Μολοττῶν δὲ βασιλεύς· Δημοσθένης Φιλιππικοῖς.

ʻΑρχαιρεσιάζειν: τὸ ἀξιοῦν ἑαυτὸν αἱρεθῆναι ἄρχοντα Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου.

ʻΑρχαίως: ʻΙσοκράτης Πανηγυρικῷ "τά τε παλαιὰ καινῶς διελθεῖν καὶ περὶ τῶν νεωστὶ γενομένων ἀρχαίως εἰπεῖν." ἔνιοι μέν φασι σημαίνειν ἀρχαιοτρόπως, τουτέστιν ἀρχαιοτέροις ὀνόμασι χρῆσθαι. Ἔφορος ἐν τῇ α΄ τῶν ἱστοριῶν τρόπον τινὰ ἐξηγήσατο. φησὶ περὶ τῶν ἀρχαίων πραγμάτων τοὺς νεωτέρους διεξέρχεσθαι. "περὶ "μὲν γὰρ τῶν καθ' ἡμᾶς γεγενημένων" φησὶ "τοὺς ἀκριβέστατα "λέγοντας πιστοτάτους ἡγούμεθα, περὶ δὲ τῶν παλαιῶν τοὺς οὕτω "διεξιόντας ἀπιθανωτάτους εἶναι νομίζομεν, ὑπολαμβάνοντες οὔτε τὰς "πράξεις ἁπάσας οὔτε τῶν λόγων τοὺς πλείστους εἰκὸς εἶναι μνη"μονεύεσθαι διὰ τοσούτων." Δημοσθένης δ' ἐν Φιλιππικοῖς φησὶν "οὕτω δὲ ἀρχαίως εἶχον, μᾶλλον δὲ πολιτικῶς" ἀντὶ τοῦ ἁπλῶς.

ʻΑρχὴ ἄνδρα δείκνυσι: Δημοσθένης προοιμίοις δημηγορικοῖς.

2. ἈΡΥ΄ΒΑΣ.—μὲν ἦν υἱὸς—βασιλεύς :— 3. ἈΡΧΑΙΡΕΣΙΑ΄ΖΕΙΝ. Δείναρχος τὸ—ἄρχοντα :— 5. ἈΡΧΑΙ˜ΟΣ (ἀρχαίως D.). Ἰσοκράτης μὲν ἐν τῷ Πανηγυρικῷ τὸ ἀρχαιοτρόπως εἰπεῖν, τουτέστιν ἀρχαιοτέροις ὀνόμασι (τουτέστι τὸ ἀρχαιοτέροις ὀνόμασι D.) χρῆσθαι. Δημοσθένης δὲ ἐν τοῖς Φιλιππικοῖς εἰπὼν, οὕτως δὲ ἀρχαίως—ἀντὶ τοῦ ἁπλῶς ἔλαβεν :— (Eadem omnia ap. Suidam, cujus gl. incipit ἀρχαῖος. ὁ παλαιός. Ἰσοκράτης μὲν etc., et Seg. p. 449, 1, ubi sic, ἀρχαῖος. ἀντὶ τοῦ εὐήθης. Πλάτων. Ἰσοκράτης δὲ etc.) 16. ΔΕΙ΄ΚΝΥΣΙ. παροιμιῶδές ἐστιν. Σόλωνος (δείκνυσιν. ἐπὶ τῶν πρὸ μὲν τῆς ἀρχῆς

1. ἈΡΥ΄ΒΒΑΣ] Libri ἀρύβας, nisi quod ἀρύμβας A. Restitui scripturam inscriptionum auctoritate munitam, de qua dixi ad Demosth. p. 13, 5. in ed. Oxon. vol. 5. p. 36.

— δὲ om. F.

— Δημοσθένης] p. 13, 5.

2. Φιλιππικοῖς] φιλιππικῷ B.C.F.

3. ἀξιοῦν] ἀναξιοῦν A.F.M. Ald.

— ἑαυτὸν] αὐτὸν F.

4. κατὰ om. A.B.C.F. Ald.

— Πολυεύκτου] πολυεύκτω B.C.

5. ἈΡΧΑΙ΄ΩΣ] ἀρχαῖος B. cum Epitome.

— Ἰσοκράτης] p. 42 d.

— Πανηγυρικῷ] παναθηναϊκῷ C.

7. σημαίνειν] σημαίνει F.

8. Ἔφορος] Legebatur Θουκυδίδης. Correxit Marxius ad Ephori Fragm. p. 90. ex ipso Harpocratione s. v. καινῶς. Thucydides, cujus nomen calami lapsui debetur, adjectivo ἀρχαιότροπος usus est 1, 71.

8. ἐν] δ' ἐν A.

9. διεξέρχεσθαι] διέρχεσθαι C.

10. γεγενημένων] γενομένων C.

11. ἡγούμεθα] Quæ sequuntur om. C.

— τοὺς οὕτω] correctum in exemplari Gœsiano apud Gronov. Libri τοσούτω.

14. δ' ἐν] μὲν F. Ald. ἐν B.

— Φιλιππικοῖς] p. 123.

16. Δημοσθένης] p. 1455.

— Δ. πρ. δημηγ. om. C.

— δημηγορικοῖς] δημηγορικῶς A.B.F. Ald.

Σοφοκλῆς μὲν οὖν ἐν ταῖς ἐλεγείαις Σόλωνός φησιν αὐτὸ εἶναι ἀπόφθεγμα, Θεόφραστος δ' ἐν τῷ παροιμιῶν καὶ Ἀριστοτέλης Βίαντος.

Ἀρχὴν ἰᾶσθαι πολὺ λῷον ἠὲ τελευτήν: ἄλλη παροιμία. δηλοῖ δὲ ὡς ἀρχόμενα τὰ δεινὰ δεῖ μᾶλλον πειρᾶσθαι κωλύειν ἢ ἀκμάσαντα καὶ τελειωθέντα.

Ἀρχιδάμειος πόλεμος: Λυσίας ἐν τῷ κατ' Ἀνδροτίωνος καὶ Δείναρχος κατὰ Πυθέου ξενίας. τὰ πρῶτα δέκα ἔτη τοῦ Πελοποννησιακοῦ πολέμου Ἀρχιδάμειος ἐκλήθη πόλεμος, ὡς ἔοικεν, ἀπὸ τοῦ τὸν Ἀρχίδαμον εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν, καθὰ Θουκυδίδης καὶ Ἔφορος καὶ Ἀναξιμένης φασίν.

Ἀσήμαντα: τὰ ὑφ' ἡμῶν λεγόμενα ἀσφράγιστα· σημεῖα γὰρ ἔλεγον τὰς σφραγῖδας· Ὑπερείδης ἐν τῷ κατ' Ἀντίου.

Ἀσπασία: Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικόν, οὗ διάλογος ἐπιγραφόμενος Ἀσπασία. μνημονεύουσι δ' αὐτῆς πολλάκις

ἐπιεικῶν, ἐν αὐτῇ δὲ τῇ ἀρχῇ βιαίων γενομένων. Σόλωνος Suidas) δὲ εἶναί φασιν αὐτὸ ἀπόφθεγμα, Ἀριστοτέλης δὲ καὶ Θεόφραστος Βίαντος:— 3. ΛΩ'ΓΟΝ] λῶον D. ἢ (ἠὲ Suidas) τελευτήν. παροιμία. δηλοῖ δὲ (δηλοῖ δὲ ἡ παροιμία Suidas. παροιμία. ἔστι δὲ δήλη Z. reliquis omissis) ὡς ἀρχόμενος τινὸς καὶ πάθους καὶ ἄλλου τινὸς δεινοῦ μᾶλλόν ἐστι κωλύειν ἢ ἐνακμάσαντος (ἐν ἀκμάσαντος T.) καὶ τελειωθέντος:— 6. ἈΡΧΙΔΑ'ΜΙΟΣ ΠΌΛΕΜΟΣ. πολέμου (ante πολέμου excidit τοῦ Πελοποννησιακοῦ, quod servarunt Suidas et Seg. p. 450, 1. Solum τοῦ habet D.) τὰ πρῶτα ἔτη Ἀρχ. ἐκλήθη πόλ. ἀπὸ τοῦ—ἐμβαλεῖν (ἐσβαλεῖν D.):— 11. ὑφ' ἡμῶν om. καὶ γὰρ σημεῖα τὰς σφραγῖδας ἔλεγον:— 13. ἈΣΠΑΣΙ'Α. πολυθρύλητος γέγονεν. ἦν δὲ γένος Μιλήσια (μιλισία E.T.),

1. οὖν om. B.C.

2. καὶ Ἀρ. Βίαντος om. C.

3. ἠὲ correxi ex Suida pro vulgato ἧγε, pro quo ἧτε est in F. ἢ in Epitome Suidæque edit. Mediolaneusi. Eodem vitio apud Aristoph. Lys. 589. legebatur πλεῖν ἧγε διπλοῦν, ubi pariter restitui ἠέ.

6. et 8. ἈΡΧΙΔΑ'ΜΕΙΟΣ] Sic Seg. p. 450, 1. Scribebatur Ἀρχιδάμιος, quod est etiam apud Suidam.

6. ἀνδροτίωνος B.C.F. quod Ἀνδρωτίωνος scriptum apud Apostolium et Arsenium. αὔτανδρον A. Ald., quod in Αὐτάνδρου mutavit Maussacus. ἀνταυδρίου P.

7. Δείναρχος κατὰ addidit Maussacus. De caussa cur Archidamicum bellum in oratione Dinarchi memoratum fuerit conjecturam proposuit Sauppius Fragm. p. 327.

7. Πυθέου] πυέου (sic) Ald. πυθίου A.C.

— δέκα om. B.C.F. et Favorinus.

9. τὸν om. B.

— καθὰ] καθὰ καὶ B.

11. ὑφ'] ἐφ' B C.F.

13. Hanc gl. om. C.

— Αἰσχίνην] αἰσχίνη A.

— τὸν Σωκρατικὸν] τὰ σωκρατικὰ M.

— οὗ διάλογος ἐπιγραφόμενος Hemsterh. Legebatur διαλεγόμενος ἐπιγραφομένῳ.

14. ἐπιγραφόμενος A.B.F. ἐπιγραφόμένοῦς M. Ceteri ἐπιγραφομένῳ.

καὶ οἱ ἄλλοι Σωκρατικοί, καὶ Πλάτων ἐν τῷ Μενεξένῳ τὸν Σωκράτην παρ' αὐτῆς φησὶ μαθεῖν τὰ πολιτικά. ἦν δὲ τὸ μὲν γένος Μιλησία, δεινὴ δὲ περὶ λόγους· Περικλέους δέ φασιν αὐτὴν διδάσκαλόν τε ἅμα καὶ ἐρωμένην εἶναι. δοκεῖ δὲ δυοῖν πολέμων αἰτία γεγονέναι, τοῦ τε Σαμιακοῦ καὶ τοῦ Πελοποννησιακοῦ, ὡς ἔστι μαθεῖν παρά τε Δούριδος τοῦ Σαμίου καὶ Θεοφράστου ἐκ τοῦ δ' τῶν Πολιτικῶν καὶ ἐκ τῶν Ἀριστοφάνους Ἀχαρνέων. δοκεῖ δὲ καὶ ἐξ αὐτῆς ἐσχηκέναι ὁ Περικλῆς τὸν ὁμώνυμον αὐτῷ Περικλέα τὸν νόθον, ὡς ἐμφαίνει καὶ Εὔπολις ἐν τοῖς Δήμοις. Λυσικλεῖ δὲ τῷ δημαγωγῷ συνοικήσασα Πορίστην ἔσχεν, ὡς ὁ Σωκρατικὸς Αἰσχίνης φησίν.

Ἀσταθμητότατον: περὶ οὗ οὐδεὶς ἂν δύναιτο τεκμήρασθαι οὐδὲ σταθμήσασθαι τί ποτε διανοεῖται ἢ τί πράξει· Δημοσθένης ἐν τῷ παραπρεσβείας.

Ἄστικτον χωρίον: τὸ μὴ ὑποκείμενον δανειστῇ· ὅταν γὰρ ὑποκέηται, εἰώθεν ὁ δανείσας αὐτὸ τοῦτο δηλοῦν διὰ γραμμάτων ἐπόντων τῷ χωρίῳ. τὸ δ' αὐτὸ καὶ ἐπ' οἰκίας γίνεται· Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικόν.

Ἀστράβη: ἡ ἡμίονος· Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. μη-

3. τε om. 4. δυοῖν] δυεῖν D. 5. τοῦ (τοῦ om. D.) Πελοποννησιακοῦ. δοκεῖ δὲ καὶ ἐξ αὐτῆς ἐσχηκέναι Περικλῆς—νόθον:— 7. ὁ om. 11. ἂν δύναιτο] δύναται Z. ἂν δύνατος (sic) D. 14. Ἄστ ΧΩΡΙΌΝ E. ἀστικὸν χωρίον T., cum lacuna post ἀστικὸν sex circiter litterarum. (Plene scriptum ἄστικτον χωρίον in Seg. p. 455, 20: apud Suidam vero eadem quæ in E. lacuna ἀστ χωρίον—. Recte ἄστικτον apud Hesych. et Etym. M.) 15. αὐτὸ τοῦτο (αὐτῷ, τοῦτο Seg. p. 455, 21.) ὁ δανείσας διὰ γραμμάτων δηλοῖ ἐπικειμένων (ὑποκειμένων D.) τῷ χωρίῳ. 16. γίνεται:— 18. ὡς Δημοσθένης κατὰ Μειδίου. τάχα δὲ

1. Πλάτων] ὁ πλάτων B.F.M.
— Μενεξένῳ] p. 235 e.
2. μὲν om. B.F.
3. ἅμα om. B.
4. δυοῖν] δυεῖν F.
— αἰτία om. F.
7. Ἀχαρνέων] 527.
— δὲ καὶ (καὶ om. Seg. p. 451, 16.; habet Suidas) additum ex Epitome. δὲ habet etiam A.
9. Πορίστην] Libriποριστήν. Accentum correxit Coraës ad Plutarchi V. Pericl. c. 24. Idem accentus vitium apud schol. ad locum Platonis p. 391. ed. Bekk., ubi similia de Aspasiæ et Periclis amoribus traduntur, additis aliorum scriptorum testimoniis.
12. πράξει] πράττει N. πράξαι Suidas et Seg. p. 453, 19., ubi Bekk. πράξει.
— Δημοσθένης] p. 383, 5.
14. Hanc gl. om. C.
— ἌΣΤΙΚΤΟΝ] ἀστικὸν A.B.F. N. Ald.
15. τοῦτο om. B.
16. τῷ] τῇ Ald.
18. ἡ ἡμίονος] ἡ om. C.F.N. ὄνος ἢ ἡμίονος Suidas.
— Δημοσθένης] p. 558.

ποτε δὲ καὶ πᾶν ὑποζύγιον, ἐφ' οὗ ἄνθρωποι ὀχοῦνται, οὕτως ἐκαλεῖτο.

ʻΑστυνόμος: Δημοσθένης κατὰ Τιμοκράτους. δέκα φησὶν εἶναι τοὺς ἀστυνόμους Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, πέντε μὲν ἐν Πειραιεῖ, πέντε δ' ἐν ἄστει. τούτοις δέ φησι μέλειν περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν καὶ τῶν κοπρολόγων καὶ τῶν τοιούτων.

ʻΑσυνθετώτατον: Δημοσθένης ἐν τῷ παραπρεσβείας ἐπ' ὄχλου ἔταξε τοὔνομα, ἤτοι ἀντὶ τοῦ ἀπιστότατον καὶ ἀβεβαιότατον καὶ πίστεις οὐ τιθέμενον διὰ τὸ ἀβέβαιον, ἢ ἀνομόλογον καὶ ἀσύμφωνον· ὁμολογίαι γὰρ αἱ συνθῆκαι. ἢ ἀντὶ τοῦ ἀσυνετώτατον, ὅπερ ἐστὶν ἀνοητότατον. ἢ ἀντὶ τοῦ ὃν μάλιστα οὐκ ἂν δύναιτό τις συνιέναι τί ποτε φρονεῖ· Ὅμηρος

σὺ δὲ σύνθεο καί μευ ἄκουσον.

ʻΑταρνεύς: πολίχνιόν τι καταντικρὺ Λέσβου κείμενον· Ἰσοκράτης Πανηγυρικῷ, Ἡρόδοτος ἐν ϛ'.

ʻΑτεχνῶς: περισπωμένως μὲν ἀντὶ τοῦ σαφῶς ἢ βεβαίως ἢ ἀσφαλῶς ἢ φανερῶς, παροξυτόνως δὲ ἀντὶ τοῦ ἀμελῶς καὶ ἄνευ τέχνης.

1. ἄνθρωποι] οἱ ἄνθρωποι Suidas et Seg. p. 454, 20. et ὠχοῦντο pro ὀχοῦνται Seg.: qui huic glossæ nonnulla addiderunt aliunde sumta. 3. Δ.—Τ. om. δέκα ἦσαν ὀστυνόμοι, πέντε μὲν—πέντε δὲ ἐν ἄστει, οἷς ἔμελλεν 6. τῶν κ.] τῶν om. 8. ἔταξε τοὔνομα, ἤτοι ἀντὶ] τάττει τὸ ὄνομα ἀντὶ 9. διὰ τὸ ἀβέβαιον οὐ τιθέμενον ἀνομόλογον] ἀνομολόγαιον Seg. p. 456, 22, omisso proximo καί. 10. ὀσυνδετώτατον. (ὀσυνετώτατον Suidas et Seg.) Ὅμηρος δὲ ἀντὶ τοῦ ὃ μὴ δύναταί τις συνιέναι τί ποτε φρονεῖ. φησὶ γάρ, σὺ 14. Λέσβου κείμενον (κείμενον Λέσβου D.) :— 18. τέχνης] τύχης D.

3. ʼΑΣΤΥΝΟʹΜΟΣ—τοιούτων om. C.

— Δημοσθένης] p. 735, 10.

4. τοὺς om. A.

— ἐν τῇ] δ' ἐν τῇ A. De numero ὀστυνόμων deque κοπρολόγοις v. Boeckh. Inscr. vol. 1. p. 337. et Œcon. polit. vol. 1. p. 285.

— ἐν ante Πειραιεῖ additum ex B. et Epitome.

5. δέ φησι] φασι N., om. F. in lacuna.

— μέλειν] μέλλειν A.F.N.

6. κοπρολόγων] προλόγων N., qui in margine habet glossema προοιμίων ἤτοι τῶν ὕμνων.

7. Δημοσθένης] p. 383, 5.

8. ἔταξε] ἔλεξε C. τάττει N. cum Epitome.

— ἤτοι om. N.

— καὶ πίστεις] ἢ πίστεις C.

13. μευ ἄκουσον] μοι ὄμοσον B.C. F.G.

14. Λέσβου om. A.

— Ἰσοκράτης] p. 70 d.

15. ἐν ϛ'] c. 28.

16—18. post glossam ἄτιμος habent B.F.

16. ἢ βεβαίως et ἢ φανερῶς om. C.

Ἀτίμητος ἀγὼν καὶ τιμητός: ὁ μὲν τιμητὸς ἐφ' ᾧ τίμημα ὡρισμένον ἐκ τῶν νόμων οὐ κεῖται, ἀλλὰ τοὺς δικαστὰς ἔδει τιμᾶσθαι ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι· ὁ δὲ ἀτίμητος τοὐναντίον ᾧ πρόσεστιν ἐκ τῶν νόμων ὡρισμένον τίμημα, ὡς μηδὲν δεῖν τοὺς δικαστὰς διατιμῆσαι. Αἰσχίνης κατὰ Κτησιφῶντος, Δημοσθένης κατὰ Μειδίου.

Ἄτιμος: τοῦτο ἰδίως ἔταξε Δημοσθένης Φιλιππικοῖς, ἤγουν ὃν ἄν τις ἀποκτείνας οὐχ ὑπόκειται ἐπιτιμίῳ. φησὶ γὰρ περὶ Ἀρθμίου λέγων ὅτι ἐψηφίσαντο Ἀθηναῖοι ἐχθρὸν εἶναι καὶ πολέμιον τοῦ δήμου τῶν Ἀθηναίων καὶ τῶν συμμάχων αὐτὸν καὶ γένος, καὶ ἄτιμον εἶναι· εἶτ' ἐπιφέρει ὥσπερ ἐξηγούμενος "τοῦτο δ' ἐστὶν οὐχ ἣν οὕτω τις ἂν "φήσειεν ἀτιμίαν· τί γὰρ τῷ Ζελείτῃ τῶν Ἀθηναίων κοινῶν εἰ μὴ "μεθέξειν ἔμελλεν; ἀλλ' ἐν τοῖς φονικοῖς γέγραπται νόμοις, ὑπὲρ "ὧν ἂν μὴ διδῷ δίκην φόνου δικάσασθαι, καὶ ἄτιμος, φησί, τεθνάτω. "τοῦτο δὴ λέγει καθαρὸν τὸν τούτων τινὰ ἀποκτείναντα εἶναι."

Ἄττα: ἀντὶ μὲν τοῦ ὅσα ἢ ἅτινα Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λιν-

1. καὶ—μὲν τιμητὸς om. 2. ἀλλ' οἱ δικάζοντες ἐτιμῶντο τί δεῖ παθεῖν ἢ ἀποτῖσαι. ὁ δὲ τιμητὸς ᾧ (ὃ T.) 4. ἐκ τῶν] ἀπὸ τῶν τίμημα:— 7. ἌΤΙΜΟΣ. ἰδίως Δημοσθένης ἐν Φιλιππικοῖς τὸν ἀτιμώρητον λέγει, τουτέστιν ὃν (ὃν om. D.) ἄν τις ἀποκτιννὺς οὐχ ὑπόκειται ἐπιτιμίῳ, ἀλλ' ἔστι καθαρὸς αἰτίας ὃ οἷον (ὁ οἷον libri optimi Suidæ, apud quem vulgo οἷον ὁ. In Seg. p. 459, 25. simpliciter οἷον) τὸν ἄτιμον ἀνελών (ἑλών Suidas):— 16. ἌΤΤΑ. τέσσαρα σημαίνει. ἀντὶ—ἅτινα παρὰ Ἀντιφῶντι, ἀντὶ δὲ—τινα (ἢ ποῖά τινα om.

1. ὁ μὲν τιμητὸς om. C.

2. ὡρισμένον—οὐ κεῖται correctum ex Epitome pro ὡρισμένως—οὐκ ἔστιν. Significationis discrimen inter τιμητὸν et ἀτίμητον ἀγῶνα recte et convenienter usui oratorum (v. Meier. de lite Att. p. 176.) explicat Harpocratio, temere significationes invertunt Lex. rhet. Bekk. p. 202, 7. et Seg. ib. p. 459, 26.

— ἐκ τῶν] αὐτῶν F.

— ὡρισμένον] ὡρισμένως A.B.C. F. Ald.

4. μηδὲν—διατιμῆσαι] οὐδὲν—τιμῆσαι B.C.F.G., reliquis Αἰσχ.—Μειδίου omissis.

4. δεῖν] δεῖ C.

5. Αἰσχίνης] p. 84, 7.

5. Δημοσθένης (καὶ δ. Ald.)] p. 543, 16.

7. ἔταξε] ἐτάξατο C.F. ἐδέξατο B.

— Δημοσθένης] p. 121, 27.

10. αὐτὸν καὶ γένος Valesius. Libri αὐτῶν καὶ γένους.

12. κοινῶν εἰ ex Demosthene restitutum. Libri, ut videtur, omnes κοινωνεῖ εἰ.

13. φονικοῖς] φοινικοῖς C. φοινικῆς F.

14. δίκην φόνου] φόνον A.F. Ald. Apud Demosthenem vulgo δίκας φόνου, sed δίκας in libris aliquot omisso.

15. τοῦτο] τοῦτον A.B.C.F.

— τούτων] τούτου G.

16. μὲν om. B.C.F.

— Ἀντιφῶν—Φιλιππικοῖς om. C.

— τοῦ] τῶν A.B.F. Ald.

δίων φόρου, ἀντὶ δὲ τοῦ τινὰ ἢ ποιά τινα Δημοσθένης Φιλιππικοῖς. ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα.

[πυθοῦ χελιδὼν πηνίκ' ἄττα φαίνεται.]

῎Αττης: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ὁ ῎Αττης παρὰ Φρυξὶ μάλιστα τιμᾶται ὡς πρόσπολος τῆς μητρὸς τῶν θεῶν. τὰ δὲ περὶ αὐτὸν δεδήλωκε Νεάνθης· μυστικὸς δὲ ὁ λόγος.

Ἀττικοῖς γράμμασιν: Δημοσθένης κατὰ Νεαίρας ἀντὶ τοῦ πα-

Seg. p. 461, 9: habet Suidas) παρὰ Δημοσθένη (corrige Δημοσθένει) ἐν Φιλιππικοῖς. ἐνιαχοῦ παρέλκει τὸ ἄττα:—

4. ῎ΑΤΤΗΣ—ὁ om. 5. θεῶν:— 7. κατὰ] ἐν τῷ κατὰ Z.

1. Δημοσθένης] p. 54.

2. τὸ ἄττα] Quæ sequuntur om. C.P.

3. πυθοῦ] Libri χίωνι που πύθου, quod χίονι που πίθου scriptum in B., χιωνιοιπου πύθου in M. In Ald. ante χιωνί που asteriscus *, quo lacuna significatur. Scripturam corruptam repetit Philemo §. 43. p. 16. ed. Burn. qui post ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα pergit, ὡς τὸ χιονίππου πύθου—φαίνεται. qui χιονίππου (quod in Χιωνίδου mutari voluit Sturzius in Annot. ad Etym. M. p. 772.) pro genitivo nominis videtur habuisse, cui ὡς τὸ ex sua ipsius conjectura præfixit, qua sane opus foret, si vera illa esset opinio: nam simplex genitivus repugnaret consuetudini Harpocrationis. Mihi non dubitandum videtur quin χιωνι (vel χίονι) που illud ex πυθοῦ χελιδὼν vel etiam ἐνιαχοῦ conflatum sit, Harpocrationis autem oratio, ut in Epitome, finiatur verbis ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα, quibus ab interpolatore tralaticium istud particularum πηνίκ' ἄττα exemplum adjectum est. Versus ipse comici est non nominati, de quo schol. Platonis p. 371, ῎Αττα: τοῦτο ψιλούμενον μὲν τινά σημαίνει, δασυνόμενον δὲ ἅτινα.—ἐνίοτε δὲ ἐκ τοῦ περιττοῦ προστίθεται.—Ἀριστοφάνης Νεφέλαις (v. 630.) "Ὅστις σκαλαθυρμάτι' "ἄττα μικρὰ μανθάνων." Ἐρατοσθένης δὲ χρονικῶς αὐτό φησι παραλαμβάνεσθαι "πυθοῦ χελιδὼν πηνίκ' ἄττα "φαίνεται·" καὶ πάλιν "Ὁπηνίκ' ἄτθ' "ὑμεῖς κοπιᾶτ' ὀρχούμενοι." In priore versu apud Siebenkeesium p. 23. et apud Ruhnkenium p. 35. est πύθου χελιδὼν κάποθ' ἄττα. Et πύθου ceteri quoque grammatici præbent. πυθοῦ χελιδὼ Dobræus in Appendice ad Kiddii Miscellanea Porsoniana p. 383. Comparandum autem Thesmophoriazusarum initium, Ὦ Ζεῦ, χελιδὼν ἆρά ποτε φανήσεται; Corrupte Etymolog. M. p. 167, 46. —ὁ κωμικὸς δὲ χρονικὸν αὐτὸ παραλαμβάνει, Πήθου χελιδὼν τηνίκ' ἄττα γίνεται· λέγει ὁπότε χελιδὼν γίνεται. Breviter Suidas in ἄττα annotavit comicum quendam ἄττα ἐπὶ χρόνου dixisse. Eustath. ad Homer. p. 148. extr., apud quem ipsum quoque πύθου scriptum falso accentu, diserte tribuit Aristophani, fortasse non alio argumento quam quod ἐκ τοῦ κωμικοῦ citatum reperisset.

4. ῎Αττης] ἄττις Ald. utrobique ἀττήσυος A. ἀττησύος F. ἀττησυ^ος M.: quæ corrupta sunt ex ῎Αττης ῞Υης, quod legitur apud Demosthenem p. 313, 27.

— Δ. ὑ. Κτ. om. C.

6. αὐτὸν] αὐτῶν A.B.

— δεδήλωκε Νεάνθης] δεδήλωκεν ὁ ἄνθης A. Ald.

7. Δημοσθένης] p. 1370 extr.

λαιοῖς· τὴν γὰρ τῶν κδ΄ στοιχείων γραμματικὴν ὀψέ ποτε παρὰ τοῖς Ἴωσιν εὑρεθῆναι. Θεόπομπος δ' ἐν τῇ κέ τῶν Φιλιππικῶν ἐσκευωρῆσθαι λέγει τὰς πρὸς τὸν βάρβαρον συνθήκας, ἃς οὐ τοῖς Ἀττικοῖς γράμμασιν ἐστηλιτεῦσθαι, ἀλλὰ τοῖς τῶν Ἰώνων.

Αὐθέντης: Λυσίας ἐν τῷ ὑπὲρ τοῦ Ἐρατοσθένους. ἐν τῷ πρὸς Ἰσόδημον ἰδίως ἔταξεν ἐπὶ τῶν λ΄, οἳ δι' ἑτέρων εἰργάζοντο τοὺς φόνους· ὁ γὰρ αὐθέντης ἀεὶ τὸν αὐτόχειρα δηλοῖ.

Αὔλειος: ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας, ὡς δηλοῖ Μένανδρος.

Αὐλία: Λυσίας ἐν τῇ κατὰ Διοδότου καὶ Αἰσχίνης κατὰ Κτησιφῶντος ἤτοι ἀντὶ τοῦ ἐπαύλεις, ἢ ἀντὶ τοῦ μικρὰς αὐλάς.

Αὐλιζόμενοι: ἀντὶ τοῦ κοιμώμενοι Ἀντιφῶν περὶ ὁμονοίας.

2. εὑρεθῆναι:— 5. ἐν—Ἰσόδημον om. 6. ἰδίως αὐτὸ ἔταξεν οἳ] καίτοι 7. δηλοῖ] σημαίνει 8. αὔλειος] αὔλιος (αὔλειος apud Suidam, sed contra sericm litcrarum) οἰκίας:— 10. ΑΥ'ΛΙ'Α. ἀντὶ τοῦ ἐπαύλεις ἢ ἀντὶ τοῦ (τὰς addunt Suidas et Seg. p. 463, 17.) μικρὰς αὐλάς. οὕτω Λυσίας καὶ Αἰσχίνης:— 12. ΑΥ'ΛΙΖΟ'ΜΕΝΟΙ. Ἀντιφῶν ἀντὶ τοῦ κ.:—

2. Θεόπομπος—Ἰώνων om. C.

— ἐσκευωρῆσθαι] Hoc nescivisse Craterum, qui hoc monumentum in ψηφισμάτων collectionem receperit, ut discimus ex Plut. V. Cimon. c. 13., monet Meinek. ad Steph. Byz. p. 717.

3. ἃς οὐ τοῖς] οὐ τοῖς N. Ald. οἷς οὐκ B.F. οἷς A.

4. ἐστηλιτεῦσθαι, quod om. Ald., ex cod. Morelli addidit Maussacus. ἐστηλίτευται A.B.F. ἐστηλίτευσε N.

5. Inter ΑΥ'ΘΕ'ΝΤΗΣ et Λυσίας Ald. inseruit ὁ αὐτόχειρ ἢ ὁ αὐτὸν ἀναιρῶν. διὸ παρ' Ἰσοκράτει αὐθέντης, quæ nullo in codice exstant, sed ex Suida s. v. αὐθέντης sunt illata.

— Λυσίας] Λυσίας δὲ Ald. scripsit, ut hæc cum verbis modo memoratis cohærere viderentur. Non habet Suidas.

— τοῦ et ἐν τῷ πρὸς Ἰσόδημον om. C. " Articulus τοῦ cum in co-" dicibus ceteris exstet, arguit in " his verbis aliquid vitii inesse. " Puto igitur scribendum esse ἐν " τῷ ὑπὲρ τοῦ Ἐρατοσθένου φόνου· " qna in oratione αὐθέντης nunc " non exstat, sed aut in lege ali-" qua earum erat quas Euphiletus " §. 28. 30. 31. recitari jnbet, aut " Harpocr. de orationis nomine er-" ravit." SAUPP. in Fragm. Orat. p. 187.

5. ἐν τῷ ante πρὸς om. Ald., nulla post Ἐρατοσθένους posita interpunctione.

6. οἳ δι' A.B.C.F. καίτοι Ald., δι' omisso.

— τοὺς φόνους] τοὺς εἰρ φόνους A. cum lacuna.

7. ἀεὶ om. B.C.F.G.

8. ΑΥ"ΛΕΙΟΣ] αὔλιος F.N. cum Epitome.

10. ΑΥ"ΛΙΑ] αὐλία Epitome accentu vitioso. Recte Ald. et codices, nisi quod αὖλλα F., ἀύλια N.

— Διοδότου] διοδήτου B.

— Αἰσχίνης] p. 70, 23.

11. κατὰ] ἐν τῷ κατὰ B.

— τοῦ alterum om. C.

— μικρὰς] τὰς μικρὰς A.C. Ald. μακρὰς N. τὰς μακρὰς B.F.

Αὐτοδικεῖν: *ἀντὶ τοῦ ἑαυτοῖς τὰ δίκαια ὁρίζειν Δείναρχος ἐν τῷ κατὰ Κλεομέδοντος.*

Αὐτοκλείδης: *Αἰσχίνης κατὰ Τιμάρχου* "*Κηδωνίδην καὶ Αὐ-*" "*τοκλείδην καὶ Θέρσανδρον.*" *οὗτοι παιδερασταὶ σφοδροὶ, ὡς καὶ Ἀριστογείτων κατὰ Τιμάρχου.*

Αὖ: *Δημοσθένης ἀντὶ τοῦ πάλιν ἐν τῷ κατ' Ἀφόβου α'.*

Αὐτολήκυθοι: *Δημοσθένης κατὰ Κόνωνος. ἤτοι ἀντὶ τοῦ εὐζώνους τινὰς καὶ ἑτοίμους πᾶν ὁτιοῦν ποιεῖν καὶ ὑπομένειν, ἢ ἀντὶ τοῦ πένητας καὶ μηδὲν ἄλλο κεκτημένους ἢ ληκύθους, ἢ αὐτουργοὺς, ἢ ἀντὶ τοῦ εἰς πληγὰς ἑτοίμους καὶ οἷον τύπτοντας καὶ μαστιγοῦντας καὶ ὑβρίζοντας. ἢ λέγοι ἂν τοὺς ἐκ προχείρου διδόντας ἀργύριον καὶ ἑτοίμους πρὸς τὰς μίξεις· καὶ γὰρ εἶχον ἐν ταῖς ληκύθοις ἀργύριον. τὸ ὄνομα καὶ παρὰ Μενάνδρῳ ἔν τε Ἡνιόχῳ καὶ Δακτυλίῳ. ὅτι δὲ εἶχον ἐν ταῖς ληκύθοις ἀργύριον ἐνίοτε, Δίφιλος τῷ Ἀποβάτῃ· ὅτι δὲ λύσαντες τὴν λήκυθον ἐχρῶντο τῷ ἱμάντι πρὸς τὸ μαστιγοῦν, Μένανδρος Τροφωνίῳ.*

Αὐτόλυκος: *Λυκούργου λόγος ἐστὶ κατ' Αὐτολύκου τοῦ Ἀρεοπαγίτου. οὗτος δὲ τοὺς οἰκείους ὑπεκτιθέμενος ἐν τοῖς Χαιρωνικοῖς ἑάλω,*

1. ΑΥΤΟΔΟΚΕΙ͂Ν (*αὐτοδικεῖν* Z). *Δείναρχος ἀντὶ—ὁρίζειν*:— 3. ΑΥΤΟΚΛΕΊΔΗΣ. *Κηδωνίδης καὶ Αὐτοκλείδης καὶ Θέρσανδρος ὡς παιδερασταὶ διεσύροντο*:— 6. *ἐν—α'* (*α'* om. D.) ante *ἀντὶ* 7. *κατὰ*] *ἐν τῷ κατὰ* D.Z. *ἀντὶ*] *ἀπὸ* D. *εὐζώνως* 8. *καὶ ἑτοίμως* (*καὶ ἑτοίμως* om. D.) In adverbiis *εὐζώνως καὶ ἑτοίμως* consentiunt Z. et libri quidam Suidæ: alii *εὐζώνους τινὰς καὶ ἑτοίμους*, quod est in Seg. p. 465, 18. 11. *λέγοι ἂν* om. 15. *ληκύθοις* (sic D.; *ληκίθοις* E.T.) *ἀργύρια* (*τὰ ἀργύρια* Z.). *καὶ λύσαντες δὲ πολλάκις τὴν λήκυθον—μαστιγοῦν*:— 17. ΑΥΤΌΛΥΚΟΣ. *Ἀρεοπαγίτης οὗτος ἦν καὶ τοὺς οἰκείους—δικασταί*:—

1. ΑΥΤΟΔΙΚΕΙ͂Ν] *αὐτοδοκεῖν* A. B.F. Ald. cum Epitome, quacum consentit Seg. p. 465, 14. Suidæque editio Mediol.: nam codices Suidæ *αὐτοδικεῖν*, ut videtur.

2. *κατὰ*] *κατὰ τοῦ* F.

3. *Αἰσχίνης*] p. 8, 11.

— *Κηδωνίδην*] Libri *κυδωνίδην*. Correctum ex Epitome. Nominativos *κυδωνίδης, αὐτοκλείδης, θέρσανδρος* ponit Ald. Et sic N., nisi quod *θέσανδρος*, quemadmodum *θέσανδρον* C.F. De quo v. quæ s. v. *Θέρσανδρος* dicentur.

4. *οὗτοι* om. N. Pro eo *ὡς* Ald., qui etiam *διεσείροντο* (i. e. *διεσύροντο*) addidit ante *ὡς καὶ*, utrumque ex Epitome.

6. ΑΥ̓ Δ.—*Ἀφόβου α'*. om. C.

7. *Δημοσθένης*] p. 1261.

12. *μίξεις*] *πράξεις* (μι) N.

— *ἀργύριον*] *ἀργύρια* M.N.

14. *Δίφιλος τῷ Ἀποβάτῃ* Maussacus. Libri *δὲ φίλον* (*δὲ δίφιλον* F. O.) *τὸν ἀποβάτην*. Articulum *τῷ* malim omitti *ὅτι* autem pendet ab verbo *δηλοῖ* intelligendo, ut p. 76, 5. et alibi.

καὶ κατεψηφίσαντο, αὐτοῦ οἱ δικασταί, ὡς ὁ αὐτὸς δηλοῖ ῥήτωρ ἐν τῷ κατὰ Λεωκράτους.

Αὐτομαχεῖν: *τὸ δι' ἑαυτοῦ δικάζεσθαι, ἀλλὰ μὴ δι' ἑτέρου, οἷον ἐάν τις εἰς πρατῆρα ἀνάγῃ, πρὸς ἐκεῖνον ἀποφαίνει τὴν δίκην οὖσαν· καὶ ἐάν τις παρέχῃ τὸν διαμαρτυροῦντα μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, αὐτὸς μὲν οὐκέτι ἀγωνίζεται, πρὸς δὲ τὸν διαμαρτυρήσαντα ὁ ἀγών ἐστι. Λυσίας ἐν τῷ κατ' Εὐκλέους χωρίου ἐξούλης.*

Αὐτόχθονες: *οἱ Ἀθηναῖοι. Δημοσθένης ἐν τῷ παραπρεσβείας "μόνοι γὰρ τῶν πάντων αὐτόχθονες ὑμεῖς ἐστέ." Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν κληθῆναί φησιν αὐτοὺς αὐτόχθονας, ἐπεὶ τὴν χθόνα, τουτέστι τὴν γῆν, ἀργὴν οὖσαν πρῶτοι εἰργάσαντο· οἱ δὲ διὰ τὸ μὴ εἶναι ἐπήλυδας. ὁ δὲ Πίνδαρος καὶ ὁ τὴν Δαναΐδα πεποιηκώς φασιν Ἐριχθόνιον καὶ Ἥφαιστον ἐκ γῆς φανῆναι. αὐτόχθονες δὲ καὶ Ἀρκάδες ἦσαν, ὡς Ἑλλάνικός φησι, καὶ Αἰγινῆται καὶ Θηβαῖοι.*

Ἀφαίρεσις *ἰδίως λέγεται ἡ εἰς ἐλευθερίαν· Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρας.*

Ἀφαρεύς: *οὗτος Ἱππίου μὲν ἦν υἱός, ἐνομίζετο δὲ Ἰσοκράτους.*

Ἀφανὴς οὐσία καὶ φανερά: *ἀφανὴς μὲν ἡ ἐν χρήμασι καὶ σώμασι καὶ σκεύεσι, φανερὰ δὲ ἡ ἔγγειος· Λυσίας ἐν τῷ πρὸς Ἱπποθέρσην.*

3. ἑτέρου:— 8. Ἀθηναῖοι ἢ ἐπεὶ τὴν—εἰργάσαντο, ἢ διὰ—αὐτοὺς ἐπήλυδας (ἐπίλυδας T). αὐτόχθονες δὲ καὶ Ἀρκάδες καὶ Αἰγινῆται καὶ Θηβαῖοι ἐκαλοῦντο:— 16. ἈΦΑΙ΄ΡΕΣΙΣ. Ὑπερίδης ἰδίως τὴν εἰς ἐλευθερίαν λέγει:— 18. ἈΦΑΡΕΥ΄Σ—Ἰσοκράτους om. (Quæ de Aphareo tradit Suidas aliunde sumsit.) 19. ἈΦΑΝΗ῍Σ ΟΥ̓ΣΙ΄Α λέγεται ἡ ἐν—ἔγγειος. οὕτω Λυσίας (οὕτω Λυσίας om. D.):—

2. κατὰ Λεωκράτους] p. 154, 31.
3. ἀλλὰ] καὶ N.
6. μὲν] μὲν γὰρ A. Ald.
7. Λυσίας—ἐξούλης om. C.
— κατ' om. Ald. Pro eo αὐτῷ affertur ex B.F. ἐν τῷ κατ' Αὐτοκλέους Maussacus. Quæ oratio memoratur a Polluce 7, 200.
— Εὐκλέους] εὐθυκλέους Ald.
8. Δημοσθένης] p. 424 etc.
— ἐν τῷ] περὶ τῆς A.B.F. ἐν τῷ περὶ τῆς Ald.
9. πάντων] ἁπάντων F.
— ἐστέ om. Ald.
10. φησιν om. B.C.F.
12. Πίνδαρος] Fragm. 140.
13. φασιν] φησιν B.C.F.
— δὲ om. B.C.F.
14. Ἀρκάδες] οἱ ἀρκάδες A.
16. Ὑπερείδης] Seg. p. 468, 18. in codice (cui Ὑπερίδης substituit Bekk.) Scribebatur Ὑπερίδης. Ὑ. ἐν τῷ κ. Ἀ. om. C.
17. Ἀρισταγόρας] ἀρισταγόρου A. Ald. ἀριστογείτονος B.F.
20. σώμασι] δώμασι M.
— ἔγγειος] ἔγγυος B.C.

Ἀφεὶς καὶ Ἀπαλλάξας: τὸ μὲν ἀφείς, ὅταν ἀπολύσῃ τίς τινα τῶν ἐγκλημάτων ὧν ἐνεκάλει αὐτῷ, τὸ δὲ ἀπαλλάξας, ὅταν πείσῃ τὸν ἐγκαλοῦντα ἀποστῆναι καὶ μηκέτι ἐγκαλεῖν· Δημοσθένης ἐν τῇ ὑπὲρ Φορμίωνος παραγραφῇ. ἔστι δὲ καὶ οὕτως εἰπεῖν, ὅτι ἀφίησι μέν τις αὐτῶν μόνων ὧν ἂν ἐγκαλῇ, ἀπαλλάττει δὲ, ὅταν μηδὲ ἄλλον τινὰ λόγον ὑπολίπηται ἑαυτῷ πρὸς τὸν ἐγκαλούμενον. Δημοσθένης ἐν τῇ ὑπὲρ Φορμίωνος παραγραφῇ "ἵν' ἀπαλλαγή τις αὐτῷ γένηται παρ' ὑμῶν κυρία."

Ἀφεὶς τὴν ὑπέραν τὸν πόδα διώκει: Ὑπερείδης ἐν τῷ περὶ τοῦ ταρίχους α΄. παροιμία ἐπὶ τῶν παριέντων τὰ σπουδαιότερα καὶ περὶ τὰ φαῦλα διατριβόντων. ὑπέραι δ' εἰσὶ ναυτικαὶ σχοῖνοι, αἷς μετάγεται τὸ κέρας.

Ἀφ' Ἑστίας μυεῖσθαι: Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα. ὁ ἀφ' Ἑστίας μυούμενος Ἀθηναῖος ἦν πάντως. κλήρῳ δὲ λαχὼν ἐμυεῖτο.

Ἀφορμή: ὅταν τις ἀργύριον δῷ ἐνθήκην, ἀφορμὴ καλεῖται ἰδίως παρὰ τοῖς Ἀττικοῖς.

1. ἀφείς ἐστιν ὅταν   τινα om. Suidas et Seg. p. 469, 16.   3. οὕτω Δημοσθένης καὶ Ἰσαῖος   ἔστιν δὲ καὶ οὕτως (οὗτος T.) Quæ post Ἰσαῖος sequuntur om. Seg. p. 469, 18, habet Suidas.   4. ἀφίησί τις μόνων ἐκείνων ὧν ἐγκαλεῖ   5. ὅταν δὲ μὴ ἄλλον τινὰ ὑπολίπηται αὐτῷ λόγον πρὸς τὸν ἐγκ. ἔστι δὲ καὶ τοῦτο παρὰ Δημοσθένει:—   9. ΔΙΩ'ΚΕΙ (διώκεις D.). παροιμία παρὰ Ὑπερίδῃ ἐπὶ τῶν παρέντων μὲν τὰ σπ. περὶ δὲ τὰ—   13. Ἰσαῖος—ὁ om. 14. ἦν:—   15. ἈΦΟΡΜΗ'. ὅταν—Ἀττικοῖς] ἀφορμή. (ἄφοδος D. ἀφ' ἧς ὁρμώμενός τις σώζεται insertum ap. Suidam) ἰδίως παρὰ τοῖς Ἀττικοῖς, ὅταν τις ἀργύριον δῴσῃ (δώσει Suidas, ubi tamen δώσῃ in cod. Bruxell.) ἐνθήκην, ἀφορμὴ καλεῖται:— (In Seg. p. 472, 6. hæc aliunde interpolata, ἀφορμή.

1. τις om. A.B.C.F.N.

3. Δημοσθένης] p. 952. Demosthenis testimonio Isæi additum fuisse ex Epitome colligi potest.

— ἐν τῇ ὑπὲρ] ἐν τῇ Γ (vel Γ^η) περὶ A.B.F. et, omisso τῇ, C.

4. παραγραφῇ] παραγραφῆς A. περιγραφῇ B.C.F.

— δὲ om. B.

5. ὧν ἂν] ὧν ἄν τις C.

— ἀπαλλάττει] ἀπαλλάττειν A.B. C.F. Ald.

— μηδὲ] μὴ B.C.

6. Δημοσθένης] p. 944. Δ.—κυρία om. C.

7. γένηται] γένοιτο N.

8. ὑμῶν] ἡμῶν F.N.

— κυρία] κυρίως N.

10. τοῦ om. B.C.

— ταρίχους] ταρίχου C.F.

11. ὑπέραι δ' εἰσὶ ναυτικαὶ σχοῖνοι] De his dixit Boeckh. ad inscr. naval. p. 153. seqq.

13. Ἀφ'] ἀφ' ἑστίας ἀπὸ τῆς οἰκίας καὶ ἀφ' Ald. ex Suida.

14. κλήρῳ δὲ λαχὼν Sauppius Fragm. p. 237. Legebatur καὶ ὁρῶ δὲ λάκων. καὶ ὁρῶ—ἐμυεῖτο om. C.

15. δῷ] ἐνδῶ A. δώσῃ Ald.: unde δῷ εἰς Salmasius et Valesius.

— ἐνθήκην] ἐνδίκη B.C.F.

— ἰδίως om. C.

Ἀφοσιῶ: ἀντὶ τοῦ ἀποκαθαίρω, ἀφαγνίζω Αἰσχίνης κατὰ Κτησιφῶντος. τὸ δὲ μὴ ἐντελῶς τι ποιῆσαι, ἀλλ' ὥσπερ ὁσίας ἕνεκεν, ἀφοσιώσασθαι εἶπεν Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα.

Ἀφροδίσιον: ἰδίως τὸ τῆς Ἀφροδίτης ἕδος.

Ἀφύας: Ὑπερείδης κατ' Ἀρισταγόρας. ἔστι δὲ καὶ ὄνομα ἑταιρῶν γυναικῶν ἀδελφῶν β'.

Ἀχαριστεῖν: ἀντὶ τοῦ μὴ χαρίζεσθαι. οὕτως Ἀντιφῶν.

B

Βαλβῖσιν: Ἀντιφῶν περὶ ὁμονοίας ἀντὶ τοῦ ταῖς ἀρχαῖς. εἴρηται δὲ ἀπὸ τῶν δρομέων· ἡ γὰρ ὑπὸ τὴν ὕσπληγγα γινομένη γραμμὴ διὰ τὸ ἐπὶ ταύτης βεβηκέναι τοὺς δρομέας βαλβὶς καλεῖται.

Βάραθρον: ὄρυγμα εἰς ὃ τοὺς ἐπὶ θανάτῳ κατακρίτους ἐνέβαλ-

ἰδίως παρὰ Ἀττικοῖς ἡ πάροδος λέγεται, ἣν νῦν πολλοὶ πρόχρειαν καὶ ἐνθήκην λέγουσι. λέγεται δὲ καὶ ἡ αἰτία. ἢ ὅταν τις ἀργύριον δώσῃ ἐνθήκην, ἀφορμὴ καλεῖται.)

1. ἀφανίζω (sic etiam Seg. p. 472, 1: ἀφαγνίζω Z. et Suidas.) κατὰ Κτ. om. 2. ἀλλ' οἷον ἀπάρξασθαι ἢ σχηματίσασθαι Ἰσαῖος λέγει:— 5. ἈΦΥΑΣ (ἀφυΐας E.T.). ὀνόματα ἑταιρῶν ἀδελφῶν δύο παρὰ Ὑπερίδῃ:— 7. Verba οὕτως ἀντιφῶν in D. supra post ὀνόματα ἑταιρῶν trajecta. 9. Ἀ. περὶ ὁμονοίας om. 10. ὕσπληγα 11. ἐπ' αὐτῆς 12. ὄρυγμά ἐστιν εἰς ὃ ὁ (ὁ om. D.) τῆς Ἱπποθοωντίδος (ἱπποθωοντίδος T.) δῆμος τοὺς ἐνέβαλον (ἐνέβαλλον Suidas). ἐν δὲ Φιλιππικοῖς ὁ Δημοσθένης τὴν λέξιν οὐ κυρίως εἶπεν

1. ἀφαγνίζω] Libri ἀφανίζω, quod ἀσφαλίζω scriptum in N., omissum in C. Correctum ex Suida.

— Αἰσχίνης] p. 70, 29.

4. ἕδος] εἶδος A.

5. Ὑπερείδης] Hyperidis verba attulit Athen. 13. p. 586 a.

— Ἀρισταγόρας] ἀρισταγόρου B.F. Ald.

— ὄνομα] ὀνόματα A F. Ald. ἐπωνυμία dixit Athenæus.

7. Ἀντιφῶν] In fragm. ap. Stob. Floril. 16, 27, ubi est ἀχαριστήσαντι.

9. ΒΑΛΒΙΣΙΝ—ἀντὶ τοῦ ταῖς ἀρχαῖς] Legebatur Βαλβίς—ἡ ἀρχή. Mutavi ex Epitome, quacum non solum Suidas, sed etiam Etym. M. p. 186, 22. consentit.

10. γινομένη] γενομένη B.C. ἀγομένη conjecit Bekkerus.

11. ἐπὶ ταύτης] ἐπὶ ταύτην B.C.

12. εἰς ὃ τοὺς] Legebatur εἰς ὃ ὁ δῆμος τῆς Ἱπποθοοντίδος τούς. Ejeci verba ab Bekkero seclusa, de quibus non satis probabilia proposuit Meier. de bonis damn. p. 19. glossa usus Lexici rhet. in Bekk. Anecd. p. 219, quæ alio ex fonte fluxit. Mihi non dubitandum videtur quin ὁ δῆμος τῆς Ἱπποθοωντίδος alius glossæ reliquiæ sint quæ in vicinia posita fuit. Ea vix alia esse potest quam Ἀχερδοῦς, quem pagum tribus fuisse constat Hippothontidis.

— ἐνέβαλλον] ἐνέβαλον A.B.L. ἀνέβαλον C.

λον. Δημοσθένης δὲ ἐν Φιλιππικοῖς οὐ κυρίως αὐτὸ λέγει, ἀλλ' ἐκ μεταφορᾶς, οἷον ἐν τῷ ὀλέθρῳ.

Βάσανος: Ἀντιφῶν. λίθος οὕτω καλεῖται, ᾗ τὸ χρυσίον παρατριβόμενον δοκιμάζεται. Ὑπερείδης δ' ἐν τῷ κατ' Ἀντίου τὰ ἐν ταῖς βασάνοις εἰρημένα ὑπὸ τῶν βασανιζομένων καὶ ἀναγραφέντα βασάνους ὠνόμασε.

Βασιλικὴ διαδρομή: ἔοικεν ἡ γενομένη διαδρομὴ τοῦ βασιλέως παρόντος, ὅσπερ εἷς ἐστὶ τῶν Ἀθήνησιν θ' ἀρχόντων, βασιλικὴ διαδρομὴ καλεῖσθαι· Δείναρχος κατὰ Πυθέου.

Βασίλειος στοά: Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος α'. β' εἰσὶ στοαὶ παρ' ἀλλήλας, ἥ τε τοῦ Ἐλευθερίου Διὸς καὶ ἡ βασίλειος. ἔστι δὲ καὶ τρίτη τις, ἡ πάλαι μὲν Πεισιανάκτειος καλουμένη, Ποικίλη δὲ μετονομασθεῖσα.

Βασκαίνει: ἀντὶ τοῦ αἰτιᾶται καὶ μέμφεται καὶ συκοφαντεῖ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. καὶ ἐν τούτοις "βάσκανον "δὲ καὶ πικρὸν καὶ κακόηθες οὐκ ἔστι πολίτευμα ἐμόν" ἀντὶ τοῦ φιλαίτιον καὶ συκοφαντικόν.

3. ΒΑ'ΣΑΝΟΣ. λίθος ἐστὶν ἡ τὸ χρυσίον παρατριβόμενον δοκιμάζουσα. οὕτως Ἀντιφῶν καὶ Πίνδαρος καὶ Σοφοκλῆς. Ὑπερίδης δὲ τὰ— 5. ἀναγραφομένων 7. ἔοικεν om. 8. τοῦ βασ. παρόντος διαδρομή. ἔστι δὲ οὗτος εἷς τῶν—ἀρχόντων, ὃς βασιλικὴ διαδρομὴ καλεῖται:— 10. Δ.—α' om. 12. τρίτη, ἣ πάλαι μὲν πυανάκτιος (apud Suidam πανάκτιος, nisi quod codex Leid. παανάκτιος, quod proxime abest ab πυανάκτιος, Bruxellensis πανάκτειος.) ἐκαλεῖτο, νῦν δὲ μετωνομάσθη ποικιλη:— 15. οὕτω Δημοσθένης 16. οὐκ] οὐδέν ἐμόν φησιν, ἀντὶ

1. Δημοσθένης] p. 101, 1. 135. extr.

3. Ἀντιφῶν] In alterutro Ἀληθείας λόγῳ, ut probabiliter conjecit Sauppius Fragm. Orat. p. 277. Ἀντιφῶν om. B.C.G.

4. Ὑπερείδης—ὠνόμασε om. C.

— δ' om. B.

5. ἀναγραφέντα] Legebatur ἀναγραφομένων. Correxit Bekk. ex N. qui ἀναγραφέν.

7. γενομένη] γινομένη Bekkerus. Lampadephoriam equestrem intelligendam esse (de qua Plato Rep. 1. p. 328 a. Pollux 8, 90.) probabiliter conjecit Sauppius in Fragm. p. 328. collato λαμπάδιον. quod ex eadem Dinarchi oratione memorat Harpocratio.

7.—9. ΒΑΣΙΛΙΚΗ'—καλεῖσθαι] His Epitomes scripturam substituit Ald. ex Suida.

9. Πυθέου] πυθίου B.C.L.

10. Δημοσθένης] p. 776, 20.

— ἐν τῷ om. B.C.L.P.Q.

12. μὲν om. L.

— Πεισιανάκτειος Maussacus. Legebatur ἀνάκτιος (ἀνάκτειος L.). Veræ lectionis vestigium servatum in Epitomes scriptura πυανάκτιος.

15. Δημοσθένης] p. 271, 21.

— τούτοις A.B.C.L.N.P.Q. Legebatur τοῖς ἑξῆς, quod est etiam in Epitome. Id si scripsit Harpocratio, memoriæ errore scripsit. Nam verba allata non ἐν τοῖς ἑξῆς leguntur, sed supra p. 263.

Βασανίσας: ἀντὶ τοῦ δοκιμάσας Δείναρχος ἐν τῷ κατὰ Προξένου. πολὺ δ' ἐστὶ τοὔνομα ἐπὶ τούτου τοῦ σημαινομένου παρ' Ἀττικοῖς.

Βάταλος: Αἰσχίνης ἐν τῷ παραπρεσβείας. κεκωμῴδηται δὲ ἐπὶ μαλακίᾳ. Εὔπολις δὲ τὸν πρωκτὸν βάταλον λέγει. μήποτε οὖν ἔνθεν τοὺς κιναίδους βατάλους καλοῦσι.

Βατβοῦς: ὄνομα γυναικός.

Βεβαιώσεως: δίκης ὄνομά ἐστιν, ἣν δικάζονται οἱ ὠνησάμενοί τι τῷ ἀποδομένῳ, ἂν ἕτερος μὲν ἀμφισβητῇ τοῦ πραθέντος, ὁ δὲ μὴ βεβαιοῖ. ἐνίοτε δὲ καὶ ἀρραβῶνος μόνου δοθέντος, εἶτα ἀμφισβητήσαντος τοῦ πεπρακότος, ἐλάγχανε τὴν τῆς βεβαιώσεως δίκην ὁ τὸν ἀρραβῶνα δοὺς τῷ λαβόντι. Λυσίας ἐν δυσὶ λόγοις.

Βησαιῆς: Λυσίας ἐν τῇ πρὸς Φιλοκράτην συμβολαίου ἀπολογίᾳ. δῆμος τῆς Ἀντιοχίδος ἡ Βῆσα.

1. *δοκιμάσας κέχρηνται* (*τούτῳ* addit D.) *σχεδὸν ἅπαντες οἱ ἀξιόλογοι*:— 3. ΒΑΤΑΛΟΣ. *κύριον ὄνομα* (*ὄνομα κύριον* D.). *κεκωμῴδηται—λέγει. καὶ ἴσως ἔνθεν μὲν* (*ἴσθι ἔνθεν* D. sine *μὲν*)—(Totam gl. om. Suidas: nam quæ s. v. Βάταλος habet aliunde sumta sunt.) 6. ΒΑΒΟΥΣ. *γυναικός*] *κύριον* Suidas. 7. *ἐστὶν ὄνομα τι*:— 12. ΒΗΣΣΗΙΣ (*βησηῖς* D.). *δῆμός ἐστι τῆς Ἀντιοχίδος Βῆσσα*:—

2. *ἐπὶ*] *ὑπὸ* A. Ald.

3.—p. 73, 7. om. C. Post Βάταλος Ald. addidit *βδελυρὸς, αἰσχρός* ex Suida et post *παραπρ.* pergit, *οὕτω τὸν δημοσθένην ὠνόμασε. κεκωμῴδηται γὰρ ἐπὶ*—.

— *Αἰσχίνης*] p. 41, 13. ubi vid. schol. annot. p. 61, 4. ed. Oxon. Doctior est scholiastæ annotatio ad orat. Timarcheam p. 32, 21.

— *ἐν τῷ*] *ἐν τῇ περὶ* Ald. In A. est *ἐν τῇ παραπρεσβείᾳ*, in B. *ἐν τῇ κε παραπρεσβεία.*

4. *δὲ* om. B.

— *ἔνθεν*] *ἔνθεν καὶ* L. *ἐνθένδε* Toupius.

6. ΒΑΥΒΟΥΣ Maussacus. *βαῦβος* O. *βαβοῦς* A.B.L. cum Epitome. *βαβοῦς, βαβῶ* Ald.

— *γυναικός*] *κύριον* B., ut Suidas.

8. *τῷ ἀποδομένῳ* L. *τῷ ἀπολυμένῳ* A. *τῶν ἀπολομένων* B. *τῶν πωλουμένων* N. *τῷ πωλουμένῳ* Ald. Comparandum Lex. rhet. Bekk. p. 220, 1. *βεβαιώσεως: δίκης ὄνομά ἐστιν, ἣν ἐδικάζοντο οἱ ὠνησάμενοι κατὰ τῶν ἀποδομένων, ὅτε ἕτερος ἀμφισβητοῖ τοῦ πραθέντος, ἀξιοῦντες βεβαιοῦν αὐτοῖς τὸ πραθέν. ἐνίοτε δὲ καὶ ἀρραβῶνος μόνου δοθέντος. ἐπὶ τούτους οὖν ἐλάγχανον τὴν τῆς βεβαιώσεως δίκην οἱ δόντες τὸν ἀρραβῶνα τοῖς λαβοῦσιν, ἵνα βεβαιωθῇ ὑπὲρ οὗ ὁ ἀρραβὼν ἐδόθη.*

8. *ἕτερος*] *ἑτέρου* B.

— *τοῦ*] *περὶ τοῦ* N.

— *ὁ* addidit Gronovius.

9. *ἐνίοτε δὲ καὶ* A.B. cum Lex. rhet. l. c. Aberat *δέ*.

— *μόνου*] *μόνον* A.B.L.N.

— *εἶτα*] *εἶτα καὶ* B.

10. *τοῦ πεπρακότος*] Sensus postulat *ἑτέρου* vel simile quid. Sauppius Fragm. p. 214. correxit *του*, deleto *πεπρακότος*.

12. ΒΗΣΑΙΗΣ] Scribebatur Βησσηῖς. Correxit Sauppius Fragm. p. 208. præeunte Hemst., qui Βησαεῖς correxerat. In inscriptionibus utraque scriptura reperitur, Βησαιεῖς et Βησαεῖς. Simplex *σ* diserte testatur Strabo 9. p. 426.

13. Βῆσα Bekkerus pro Βῆσσα.

Βιαίων: ὄνομα δίκης κατὰ τῶν βίᾳ πραττόντων ὁτιοῦν· ὁ δὲ ἁλοὺς ἀποτίνει εἰς τὸ δημόσιον ἴσον ὅσον τῷ ἑλόντι. Δημοσθένης κατὰ Μειδίου. εἰσὶ δὲ καὶ ἐν τοῖς Λυσιακοῖς φερόμενοι λόγοι βιαίων. καὶ δῆλον ὅτι οὐκ ἐπὶ φθορᾷ παρθένων μόνον οὔτε τὸ ὄνομα οὔτε ἡ δίκη ἐλέγετο, ἀλλὰ καὶ ἐπ' ἄλλων.

Βαιμάζειν: τὸ ταῖς χερσὶ διαθλίβειν. καὶ τὸ τὰ κηρία θλῖψαι βαΐσαι λέγεται.

Βοηδρόμια: Δημοσθένης Φιλιππικοῖς. ἑορτή τις Ἀθήνησιν οὕτω καλουμένη, ἥν φησι Φιλόχορος ἐν β' νενομίσθαι ἐπειδὴ Ἴων ὁ Ξούθου ἐβοήθησε σπουδῇ πολλῇ πολεμουμένοις Ἀθηναίοις ὑπὸ Εὐμόλπου τοῦ Ποσειδῶνος, Ἐρεχθέως βασιλεύοντος. βοηδρομεῖν γὰρ τὸ βοηθεῖν ὠνομάζετο, τουτέστιν ἐπὶ μάχην δραμεῖν.

1. δίκης ἐστὶ κ. 2. ἀποτίνει] ἀποτείνει E.T. et Suidæ codex Bruxell. ἴσον] ἴσον (sic) D. ὅσον om. 3. βιαίων] βίαιοι 4. μόνον om. 7. βλίσαι (ττειν) Z. 8. ΒΟΗΔΡΟΜΙ'Α (βοὴ δρομία E.T.). βοηδρομεῖν μὲν τὸ— δραμεῖν, ἔστιν δὲ ἡ βοηδρομία ἑορτή τις Ἀθ. καλ. καθ' ἣν ἡμέραν ἐβοήθησεν Ἴων (ἴνον D. Ἴων excidit ap. Suidam) ὁ Ξούθου σπουδῇ πολλῇ πολ.—Ποσειδῶνος. Ἐρεχθεὺς δὲ τότε Ἀθηναίων ἐβασίλευεν:—

2. ὅσον addidit Buttmannus ex Demosth. p. 528, 20. ὧν δὲ μικροῦ πάνυ τιμήματος ἄξιόν τις λάβῃ, βίᾳ δὲ τοῦτο ἀφέληται, τὸ ἴσον τῷ δημοσίῳ προστιμᾶν οἱ νόμοι κελεύουσιν ὅσον περ δὴ τῷ ἰδιώτῃ.

3. κατὰ] ἐν τῷ κατὰ B.

— δὲ om. A.N.

— βιαίων Hemsterh. Legebatur βίαιοι.

4. δῆλον] δῆλόν ἐστιν B.L.N.P.Q.

— μόνον om. Epitome, quo deleto etiam verba ἀλλὰ καὶ ἐπ' ἄλλων delenda erunt, quæ om. A.B.L.P. Q., habet vero Epitome. De quo Sauppius Fragm. p. 208. "Quæ "post λόγοι βίαιοι sequuntur ad- "dita sunt, quod, cum postea in "scholis rhetorum caussæ βίας de "vi virginibus illata sæpissime "tractarentur, actiones βίας et "βιαίων confundi solebant: cf. "schol. Platon. p. 405. ed. Bekk. "Confuderunt etiam grammatici "ii qui h. l. et μόνον et ἀλλὰ καὶ "ἐπ' ἄλλων addiderunt." Quæ scholiasta Platonis tradit de σχολικαῖς ὑποθέσεσιν, ἐν αἷς βίας ἔγκλημά ἐστι κατὰ τῶν κόρην ἁρπασάντων ἢ παῖδα ἐλεύθερον deque discrimine βιαίων et βίας, eadem fere leguntur in Lexico rhet. in Append. ad Photium p. 665, 26. In verbis Harpocrationis ut vulgo scripta leguntur nihil est quod reprehendas.

4. οὔτε τὸ] οὔτε γὰρ τὸ L.

7. ΒΑΪΣΑΙ] ὃ καὶ βλίσαι Bernhardyus ad Suidam vol. 1. p. 1001. deleto puncto post διαθλίβειν. Male.

8. ΒΟΗΔΡΟ'ΜΙΑ] βοηδρομία B. C.L. Ald. cum Epitome.

— Δημοσθένης] p. 37.

9. ἐν β' om. C.

10. πολλῇ addidi ex Epitome. Neque enim verisimile est Epitomatorem hoc de suo adjecisse.

11. γὰρ om. B.C.

12. ὠνομάζετο] ὀνομάζεται B.C.

Βόθυνος: τόπος τις ἰδίως οὕτω καλούμενος ἐν τῇ ἱερᾷ ὁδῷ. Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα περὶ ἐγγύης μνημονεύει τοῦ τόπου καὶ Καλλισθένης.

Βολεῶνες: ὁ τόπος ὅπου ἡ κόπρος βάλλεται βολεὼν καλεῖται. Νίκανδρος ἐν γ' Ἀττικῆς διαλέκτου "βολεῶνας ἐπὶ τῶν ἀγρῶν, εἰς "οὓς τὰ κόπρια ἐκφέρει." οὕτω Δείναρχος καὶ Φιλήμων καὶ ἄλλοι.

Βομβυλιός: ζῷον παραπλήσιον μελίττῃ, ὠνομασμένον ἀπὸ τοῦ βόμβου· Ἰσοκράτης Ἑλένης ἐγκωμίῳ.

Βουλαία: Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους ἐνδείξει "μαρ"τύρομαι τὴν Ἑστίαν τὴν βουλαίαν," οἷον τὴν ἐν τῇ βουλῇ ἱδρυμένην.

Βουλεία: τὸ ἐκ τῆς βουλῆς ὄντα πράττειν ἃ τοῖς βουλευταῖς προσήκει· Δείναρχος καὶ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις.

Βουλεύσεως: ἐγκλήματος ὄνομα ἐπὶ δυοῖν ταττόμενον πραγμάτοιν· τὸ μὲν γάρ ἐστιν ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ

1. ὁδῷ, οὗ μνήμην Ἰσαῖος καὶ Καλλισθένης ποιεῖται:— 4. ΒΟΛΕΩ͂ΝΕΣ. οἱ δεχόμενοι τόποι τὴν κόπρον οὕτω καλοῦνται. οὕτω Δείναρχος καὶ Φιλήμων καὶ ἄλλοι:— (Omisit hanc gl. Suidas substituta alia, βολεῶνας: οὕτως οἱ Ἀττικοὶ καλοῦσιν οὗ ἡ κόπρος τῶν βοῶν καὶ τῶν ὑποζυγίων καὶ τῶν προβάτων βάλλεται. Quæ in Epitome leguntur habet etiam Z. nisi quod ἕτεροι scriptum pro ἄλλοι.) 7. ζῶόν ἐστι π. 8. βόμβου ὃν ἐκεῖνο βομβεῖ:— 9. ἐν τῇ κατὰ Κ. ἐνδείξει om. 12. ΒΟΥΛΑΊΑ (βουλεία D. βουλεία recte ap. Suidam) τὸ χρηματίζοντά τινα τῆς βουλῆς πρ.—προσήκει. οὕτω Δείναρχος καὶ Ἀριστοφάνης:— 14. ἐγκλήματός ἐστιν ὄνομα. πραγμάτοιν ταττόμενον. 15. γάρ om. D.

1. Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα] Comparanda cum his Lysiæ verba in Bekk. Anecd. p. 173, 26. συντυγχάνουσιν Ἕρμωνι ἐς Βόθυνον ἀπιόντι. De quo loco dixit Saupp. ad Fragm. p. 231.

2. καὶ Καλλισθένης addidi ex Epitome. καὶ εἶδος ἀστέρος addit Ald.

4. ἡ om. A.B.C.L.N.

— βάλλεται] τῶν βοῶν καὶ τῶν ὑποζυγίων καὶ τῶν προβάτων addit Ald.: quæ ex Suida interpolata sunt.

5. γ'] τρίτῃ Ald. τρίτῳ B.C. ῡ N.

— βολεῶνας] βολεῶνες B.C.

6. ἐκφέρει] ἐκφύρει L.N.

6. οὕτω—ἄλλοι (ἕτεροι Z.)] Hæc addidi ex Epitome.

7. ΒΟΜΒΥΛΙΌΣ] βομβύλιος A.L. βομβυλίος B.N.

8. Ἰσοκράτης] p. 210 c.

— Ἑλένης] ἐν ἑλένης C. Solam literam ε cum lacuna habet L.

9. τῇ] τῷ A.B.L.N.

— κατὰ om. B.N.

10. τὴν Ἑστίαν] γὰρ ἑστίαν G.

— οἷον] οἷον γὰρ B.C.

12. ΒΟΥΛΕΊΑ] βουλία A.N. βουλία ἢ ἀβουλία B.C.

13. Θεσμοφοριαζούσαις] 809.

14. δυοῖν] δυεῖν N.

15. πραγμάτοιν ex Epitome pro πραγμάτων.

— τις ante ἐξ collocat C.

θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθεὶς ἐάν τε μή, τὸ δ' ἕτερον ὅταν ἐγγεγραμμένος ὡς ὀφείλων τῷ δημοσίῳ αὐτὸς δικάζηταί τινι ὡς οὐ δικαίως αὐτὸν ἐγγεγραφότι. τοῦ μὲν οὖν προτέρου μάρτυς Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην, ἐπὶ Παλλαδίῳ λέγων εἶναι τὰς δίκας, Δείναρχος δὲ ἐν τῷ κατὰ Πιστίου ἐν Ἀρείῳ πάγῳ. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ τῷ Ἰσαίῳ συμφωνεῖ. περὶ δὲ τοῦ ἑτέρου ἐγκλήματος Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος α'. Ὑπερείδης δ' ἐν τῷ κατ' Ἀθηνογένους α' ἐπὶ ἐνέδρας καὶ ἐπιβουλῆς τῆς εἰς χρήματα ἰδίως κέχρηται τῷ ὀνόματι.

Βουτάδης: δῆμος τῆς Οἰνηΐδος φυλῆς Βουτεια, ἀφ' ἧς οἱ δημόται Βουτάδαι.

Βούτης: οὗτος ἔσχε τὴν ἱερωσύνην· καὶ ἀπὸ τούτου Βουτάδαι καὶ Ἐτεοβουτάδαι οἱ ἀπόγονοι τοῦ Βούτου· τὸ γὰρ ἐτεὸν ἀληθές. Ὅμηρος "εἰ ἐτεόν σός εἰμι."

Βουφόνια: Ὑπερείδης ἐν τῷ κατὰ Δημάδου. ἑορτή τις ἐστὶ παρ' Ἀθηναίοις.

ʼΕξαιρέσεως δίκη: ὁπότε τις ἄγοι τινὰ ὡς δοῦλον, ἔπειτά τις αὐτὸν ὡς ἐλεύθερον ἐξαιροῖτο, ἐξῆν τῷ ἀντιποιουμένῳ τοῦ ἀνθρώπου ὡς δούλου λαγχάνειν ἐξαιρέσεως δίκην τῷ εἰς τὴν ἐλευθερίαν αὐτὸν ἐξαιρουμένῳ· ʼΙσαῖος ἐν τῇ ὑπὲρ Εὐμάθους εἰς ἐλευθερίαν ἀφαιρέσει.

ʼΕξαράσασθαι: Αἰσχίνης κατὰ Κτησιφῶντος "ὅτι χρυσᾶς ἀσπίδας ἀνέθηκε πρὸς τὸν καινὸν νεὼν πρὶν ἐξαράσασθαι." ἐξαράσασθαι δέ ἐστι τὸ ἐκτελέσαι τὰς ἀρὰς, τουτέστι τὰς εὐχὰς, ἃς ἐπὶ ταῖς ἱδρύσεσι τῶν ναῶν εἰώθασι ποιεῖσθαι.

ʼΕξεγγύησις: τὸ ἐξελέσθαι τινὰ δι' ἐγγυητῶν καταστάσεως· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους.

ʼΕξένιζε: Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει "διαβεβλήκασι γάρ μου τὸν πατέρα ὡς ἐξένιζε." μήποτε ἀντὶ τοῦ ξένος ἦν, καὶ οὐχ ὡς Δίδυμός φησιν, ἀντὶ τοῦ οὐκ ʼΑττικῶς διελέγετο, ἀλλὰ ξενικῶς.

ʼΕξεπρέμνιζον: ἀντὶ τοῦ κατέβαλλον τὰ πρέμνα, τουτέστι μέχρι ῥιζῶν τὰ στελέχη, Δημοσθένης ἐν τῷ περὶ τοῦ ʼΑγνίου κλήρου.

στος ἐν (ἐν om. D.) ις νόμῳ (sic etiam meliores libri Suidæ, non νόμων) μαρτυρεῖ :—

1. ἐναγής. Αἰσχίνης δὲ ἐπί 3. ἄγοι (ἄγει duo codices Suidæ) μέν τινα ἔπειτά] ἄλλος δέ 4. ἐξαιροῖτο] ἐξαιρῆτο (οι superscr.) D. τὸν ἀντιποιούμενον τῷ ἀνθρώπῳ (τοῦ ἀνθρώπου Suidas) 5. αὐτοῦ (αὐτὸν Suidas) ἐξαιρουμένῳ :— 7. Αἰσχίνης—δέ ἐστι om. 11. ἐξελέσθαι] ἐκτελέσαι (τελέσαι D.), librario ad lin. 9. aberrante: quid vitium servavit Suidas. διὰ τῆς (τῆς om. D.) τῶν ἐγγυητῶν καταστάσεως. οὕτω Δημοσθένης :— 13. Δημοσθένης—μήποτε om. 15. ἦν. Δίδυμος δέ φησιν ἀντὶ τοῦ οὐκ ʼΑττικοῖς, ἀλλὰ ξένοις ῥήμασι διελέγετο :— 17. κατέβαλλον] κατέβαλον (λ superscr.) T. κατέβαλον duo codices Suidæ. 18. στελέχη. οὕτω Δημοσθένης :—

1. Αἰσχίνης] p. 69, 28.

3. ἄγοι] ἄγει C.

4. ἐξαιροῖτο] ἄγοιτο A., sed superscripto ἐξαίροιτο, qui accentus est etiam in Ald. et Epitome.

7. Αἰσχίνης] p. 70, 4.

— χρισᾶς ἀσπίδας] χρυσάσπιδας A. Ald.

8. πρὶν ἐξαράσασθαι ex Æschine addidit Hemsterh.

9. δέ ἐστι C. aberat δέ. Hemsterh. scripserat ἔστι δὲ τὸ, omisso ἐξαράσασθαι.

9. ἃς additum ex Epitome.

10. ναῶν] νεῶν ἃς C.N. ναῶν αἳ A. Ald.

11. Δημοσθένης] p. 725.

12. Τιμοκράτους Bekkerus. Libri ʼΑριστοκράτους.

13. Δημοσθένης] p. 1304, 6,

17. κατέβαλλον] κατέβαλον A.

— πρέμνα] πράγματα B.C.G.

18. ῥιζῶν :— C.

— περὶ τοῦ (τοῦ additum ex B.)

Ἐξετάζεσθαι: ἀντὶ τοῦ ὁρᾶσθαι Δημοσθένης κατὰ Στεφάνου. καὶ ἐν τῷ κατ' Ἀνδροτίωνος "ἐξητάσθης" φησὶν ἀντὶ τοῦ ὤφθης, ἑωράθης.

Ἐξηγητής: Ἰσαῖος ἐν τῷ περὶ τοῦ Κίρωνος κλήρου. ὁ ἐξηγούμενος τὰ ἱερά. ἔστι δὲ καὶ ἃ πρὸς τοὺς κατοιχομένους νομιζόμενα ἐξηγοῦντο τοῖς δεομένοις. καὶ Δημοσθένης ἐν τῷ κατ' Εὐέργου καὶ Μνησιβούλου δηλοῖ, πληθυντικῶς τοὺς ἐξηγητὰς πολλάκις ὀνομάζων.

Ἐξήκεστος: ὄνομα κύριον· Δημοσθένης κατ' Ἀριστοκράτους.

Ἐξορχησάμενος: ἀντὶ τοῦ φυγὼν καὶ ἀποδράς Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος προσπαίζων ἅμα εἶπε διὰ τὴν τῶν Διονυσίων πομπήν.

Ἐξούλης: ὄνομα δίκης ἣν ἐπάγουσιν οἱ φάσκοντες ἐξείργεσθαι τῶν ἰδίων κατὰ τῶν ἐξειργόντων. εἴρηται μὲν οὖν τοὔνομα ἀπὸ τοῦ ἐξίλλειν, ὅ ἐστιν ἐξωθεῖν καὶ ἐκβάλλειν, δικάζονται δὲ ἐξούλης κἀπὶ τοῖς ἐπιτιμίοις οἱ μὴ ἀπολαμβάνοντες ἐν τῇ προσηκούσῃ προθεσμίᾳ, ὑπερημέρων γιγνομένων τῶν καταδικασθέντων. οἱ δὲ ἁλόντες ἐξούλης καὶ τῷ ἑλόντι ἐδίδοσαν ἃ ἀφῃροῦντο αὐτὸν, καὶ τῷ δημοσίῳ κατε-

1.—3. ʼΕΞΗΤΑ΄ΣΘΗΣ. *Δημοσθένης ἐν τῷ κ. Στ. καὶ κατὰ Ἀνδρ. ἀντὶ τοῦ ὤφθης, ὠράθης :—* 4. ʼΕΞΗΓΗΤΗ΄Σ. *ἰδίως ὁ ἐξηγούμενος τὰ ἱερά. ἔστιν δὲ καὶ ἃ πρὸς τοὺς κατοιχομένους ὀνομαζόμενα—δεομένοις :—* 8. *κύριον :—* 10. *Ἀνδροτίωνος :—* 12. *ἣν*] *ἣν ἣν* D. 14. *ὅπερ ἔστιν ἐξείργειν καὶ ἐξωθεῖν καὶ ἐκβάλλειν* 16. *γινομένων* (*γενομένων* D.) 16. *οἱ δὲ ἁλόντες ἐξούλης*] *οἱ μὲν τῇ ἐξούλης ἁλόντες* 17. *αὐτὸν*] *αὐτοῦ*, quod om. D.

Ἀγνίου (*ἁγνοῦ* A.B.) *κλήρου*] Id est in oratione contra Macartatum p. 1073, 27.

1. *κατὰ Στεφάνου*] p. 1121, 24.

2. *κατ' Ἀνδροτίωνος*] p. 613 extr.

— *ἑωράθης* N. Ceteri *ὠράθης*.

4. *περὶ τοῦ Κίρωνος* Valesius. *περὶ τοῦ σκίρωνος* A. Ald. *πρὸς τοῦ σκίρωνος* B. *πρὸς σκύρωνος* C.

— *κλήρου*] *κλῆρον* C.

— *ὁ*] *καὶ* B.C.G.

5. *ἔστι δὲ* (*δὲ* om. B.) *καὶ ἃ*] *ἔτι δὲ καὶ τὰ* Hemsterh. *ἔστι δὲ οὗ καὶ τὰ* Kuhn. ad Polluc. 3, 102. *ὅτι δὲ καὶ τὰ* Bekkerus sublata interpunctione post *δεομένοις*.

— *τοὺς* om. N.

— *κατοιχομένους*] *κατοιχουμένους* B. Ald. *κατηχουμένους* A.

5. *νομιζόμενα* Valesius. Libri *ὀνομαζόμενα*.

6. *ἐξηγοῦντο*] *ἐξηγοῦνται* N.

— *καὶ*] Malim *ὡς*, nisi Bekkerus supra recte correxerit *ὅτι δὲ καὶ τὰ*—.

— *Δημοσθένης*] p. 1160.

8. om. C.

— *Δημοσθένης*] p. 666 extr.

9. *Δημοσθένης*] p. 614, 23.

13. *οὖν* om. G.

14. *ἐξίλλειν*] *ἐξέλλειν* B. Ald. *ἐξέλειν* C.G.

— *ἐκβάλλειν :—* C.

15. *ἐν*] *ἐπὶ* B.

— *προσηκούσῃ*] *προσελθούσῃ* N.

16. *γινομένων*] *γενομένων* B.

17. *ἑλόντι*] *φήναντι* N.

τίθεσαν τὰ τιμηθέντα. ἐδικάζετο δὲ ἐξούλης καὶ ὁ χρήστης κατέχειν ἐπιχειρῶν κτῆμα τοῦ χρεωστοῦντος καὶ κωλυόμενος ὑπό τινος. καὶ ἐπεργασίας δέ τις εἰ εἴργοιτο, δίδωσιν ὁ νόμος δικάζεσθαι πρὸς τὸν εἴργοντα ἐξούλης. καὶ περὶ ἀνδραπόδου δὲ καὶ παντὸς οὗ φησί τις αὐτῷ μετεῖναι. ταῦτα δὲ σαφῶς Ἰσαῖος διδάσκει καὶ Λυσίας ἐν τῷ κατὰ Στρατοκλέους ἐξούλης. Δείναρχος μέντοι ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ ἰδίως κέχρηται τῷ τῆς ἐξούλης ὀνόματι ἐπὶ τῆς ἱερείας τῆς μὴ βουλομένης τὰ ἴδια δρᾶν. ὅτι δὲ ἐπὶ παντὸς τοῦ ἐκ τῶν ἰδίων ἐκβαλλομένου τάττεται τοὔνομα, καὶ οὐχ ὡς οἴεται Καικίλιος μόνων τῶν ἐκ καταδίκης ὀφειλόντων, καὶ Φρύνιχος ἐν Ποαστρίαις δῆλον ποιεῖ.

Ἐξωμοσία: *τὸ μεθ' ὅρκου πρᾶξίν τινα ἀπαρνήσασθαι διὰ νόσον ἢ τινα ἑτέραν πρόφασιν, ὡς δῆλον ποιεῖ Δημοσθένης ἐν τῷ περὶ τῆς πρεσβείας.*

Ἐπαγγελία: *σημαίνει μὲν καὶ ἄλλα, ἰδίως δὲ λέγεται ἐπὶ τῶν ἐγκαλούντων τινὶ δημηγορεῖν καὶ πολιτεύεσθαι οὐκ ἐξόν, καὶ ἔστιν οἷον παραγγελία· Αἰσχίνης κατὰ Τιμάρχου. λέγεται δὲ παρ' αὐτοῖς τὸ ἐπαγγέλλεσθαι καὶ ἀντὶ τοῦ προστάττειν ἢ αἰτεῖσθαι, ὡς παρά*

2. *ὑπό τινος*] *ὑπό τινων* Coisl. 3. *ἐπεργασίας δέ τις εἰ*] *ἀπεργασίας δὲ εἴ τις* Coisl. *ἀπεργασίας* etiam Suidas: unde *ἀπ' ἐργασίας* Hudtwalk. in libro de diætetis p. 138. *δὲ εἴ τις* deteriores libri Suidæ. 4. *εἴργοντα*] *ἐξείργοντα* Coisl. *οὗ*] *οὕτω* D. 5. *ταῦτα—Στρατοκλέους ἐξούλης* om. 6. *Δείναρχος δὲ ἰδίως κέχρηται* 8. *δρᾶν*:— 12.—14. ἘΞΟΜΟΣΙΆ *τὸ μεθ' ὅρκου ἀ. πρᾶξίν τινα διὰ νόσον ἢ π. ἑτέραν τινὰ ἐξομόσασθαι ἐστίν. οὕτω* Δ.:— 15. ἘΠΑΓΓΕΛΙΆ *καὶ ἐπαγγεῖλαι σημαίνει—ἰδίως δὲ ἐπὶ—παραγγελία· λέγουσι δὲ τὸ ἐπαγγέλλεσθαι καὶ ἀντὶ* (*λέγουσι δὲ καὶ ἐπαγγέλλεσθαι ἀντὶ* D.)—*ὡς Ἀντιφῶν, ἀλλὰ καὶ Δ. ἐν τῷ παραπρεσβείας* (*περὶ πρεσβείας*, superscripto *παρα*, D.):—

1. *ἐδικάζετο δὲ — αὐτῷ μετεῖναι* addidi ex Epitome. Eadem sunt in Lexico codicis Coisliniani 177., omissis tamen postremis verbis *καὶ περὶ—μετεῖναι*.

5. *Ἰσαῖος*] Duæ orationes Isæi commemorantur, de quibus cogitare possis, *πρὸς Ἀγνόθεον ἐξούλης* et *πρὸς Δωρόθεον ἐξούλης*, ut monet Saupp. Fragm. p. 203.

— *διδάσκει* ante *Ἰσαῖος* A.

6. *τῇ* K.,] *τῷ* κ. A. B. Ald.

— *Κροκωνιδῶν*] *κροκονιδῶν* A. Ald.

7. *ἰδίως*] *ἡδέως* A. B. P. Q.

9. *ἐκβαλλομένου*] *ἐκλαμβανομένου* B.

10. *μόνων* Valesius. *μόνος* libri, nisi quod *μόνως* N.

12. *ἢ*] *ἦν* B., om. A. Ald.

13. *τινα* ante *ἢ* habet N.

— *ὡς* om. B.C.

— *Δημοσθένης*] p. 379, 11.

14. *πρεσβείας*] *παραπρεσβείας* Ald.

17. *Αἰσχίνης*] p. 9, 35.

18. *καὶ* om. B.C.

— *αἰτεῖσθαι*] *αἰτιᾶσθαι* B.G. *αἰτιασθῆναι* C.

τε Ἀντιφῶντι ἐν τῷ περὶ τοῦ Λινδίων φόρου καὶ Δημοσθένει ἐν τῷ περὶ πρεσβείας.

Ἐπακτὸς ὅρκος: ὃν αὐτός τις ἑκὼν αὐτῷ ἐπάγεται, τουτέστιν αἱρεῖται· ἄλλοι δὲ τοὐναντίον ὁ ἀλλαχόθεν ἐπιφερόμενος, ἀλλ' οὐκ αὐθαίρετος. Λυσίας ἐν τῷ πρὸς Χαιρέστρατον καὶ Ἰσοκράτης Ἀπολλωνιάτης ἐν ταῖς πρὸς Δημόνικον παραινέσεσιν. ἔστι δὲ ὅρκου τρία εἴδη, ἀπώμοτος καὶ κατώμοτος καὶ ὁ καλούμενος ἐπακτός. εἶναι δὲ τοῦτον οὐχ ἁπλοῦν· δεῖν γὰρ τὸν προτεινόμενον ὑπὸ τοῦ ὁρκίζοντος αὐτοῖς ὀνόμασιν ἀντιφωνεῖν τὸν ὁρκιζόμενον.

Ἐπακτροκέλης: Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου. εἶδος δ' ἐστὶ πλοίου σύνθετον ἔχον τὴν κατασκευὴν ἔκ τε ἐπακτρίδος καὶ κέλητος. ἦν δὲ ὡς ἐπίπαν λῃστρικὸν, ὡς καὶ Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου δοκιμασίᾳ.

Ἐπαλλάξεις: ἀντὶ τοῦ συναλλαγὰς ἢ μίξεις Ἀντιφῶν Ἀληθείας α'.

Ἐπαναφορά: τὸ ἀναφέρειν καὶ ἀνακοινοῦσθαι τῷ πλήθει.

Ἐπαιρόμενος: ἀντὶ τοῦ ἐπανατεινόμενος Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἐν δὲ τῷ πρὸς Ἄφοβον ἐπ' ἄλλου σημαινομένου φη-

3. ὃν ἄν τις αὐτὸς ἑκὼν ἑαυτῷ ἐπαγάγηται (ἐπάγηται D. et Suidas)—αἱρεῖται. ἄλλοι δὲ τοὐναντίον ὁ ἀλλαχόθεν ἐπιφερόμενος, ἀλλ' οὐκ αὐθαίρετος. ἔστιν δὲ ὅρκου τρία εἴδη, ἀπόμοτος, κατόμοτος (recte hæc per ω scripta ap. Suidam), ἐπακτός :— 10. ἘΠΑΚΤΡΟΚΕ'ΛΗΣ. εἶδός ἐστι 11. ἐξ ἐπακτρίδος—λῃστρικόν :— Aliam glossam substituit Suidas. 14. Ἀντιφῶν :— 16. ἀναφέρειν] ἐπαναφέρειν D. 17. ἘΠΑΙΡΟ'ΜΕΝΟΣ. Δ. ἐν μὲν τῷ κατὰ Κτ. ἀντὶ τοῦ ἐ., ἀλλαχοῦ δέ :— Nihilo integriora hæc suo in libro reperit Suidas. Videtur Epitomator scripsisse ἀλλαχοῦ δὲ ἐπ' ἄλλου σημαινομένου.

1. τε] τε τῷ B.

— Δημοσθένει] p. 354, 11. 401, 17. 21.

2. περὶ πρεσβείας] παραπρεσβείας Epitome. περὶ τῆς παραπρεσβείας. Ald.

3. τουτέστιν] ἀντὶ τοῦ C.

4. ἄλλοι δὲ — αὐθαίρετος addidi ex Epitome. Hoc sensu ἐπακτὸν ὅρκον dixit Isocrates, cujus locus est p. 6 c.

7. εἶναι] Verbum ad quod εἶναι referri possit desiderabat Stephanus.

8. δεῖν P. Legebatur δεῖ.

10. Αἰσχίνης] p. 27. 9.

11. σύνθετον ἔχον τὴν] συνθέτου τὴν B.C.

14 ἘΠΑΛΛΑ'ΞΕΙΣ] Conf. Wessel. ad Herodot. 1, 74. Brandis Hist. philos. vol. 1. p. 319. ab Sauppio cit. Fragm. p. 148.

17. ἐν τῷ—ἐπαιρομένους om. C.

— ὑπὲρ Κτησιφῶντος] p. 302, 13.

18. ἐν δὲ τῷ πρὸς Ἄφοβον (p. 851, 13.) Valesius. ἐν δὲ τῷ προ ante lacunam A.B. Ald. ἐν δὲ τῷ ἑτέρῳ G. ἐν δὲ τῶ ἔτρω O. ἑτέρωθι δὲ N.

σὶν "ἢ κέρδεσιν δι' ἀπορίαν ἐπαιρομένους." [Ἀριστοφάνης Νεφέλαις

εἴθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς,
ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα.]

Ἐπεδίκασε καὶ ἐπεδικάσαντο: Δημοσθένης ἐν τῷ κατ' Ὀλυμπιοδώρου. τὸ μὲν ἐπεδίκασέν ἐστιν οἷον προσέκρινε, τὸ δὲ ἐπεδικάσαντο οἷον ἔπεισαν τοὺς δικαστὰς ἑαυτοῖς προσνεῖμαι τὸν κλῆρον.

Ἐπενεγκεῖν δόρυ ἐπὶ τῆι ἐκφορᾶι καὶ προαγορεύειν ἐπὶ τῶι μνήματι: Δημοσθένης κατ' Εὐέργου καὶ Μνησιβούλου ταῦτά φησιν ἐπὶ τοῦ βιαίως ἀποθανόντος. Ἴστρος δ' ἐν τῇ συναγωγῇ τῶν Ἀτθίδων περὶ Προκρίδος καὶ Κεφάλου εἰπὼν γράφει ταυτί· "τινὲς δὲ ἐπὶ τοῦ "τάφου δόρυ καταπεπηχότα τὸν Ἐρεχθέα φασὶ πεποιῆσθαι παρα"καθήμενόν τε καὶ τὸ πάθος σημαίνοντα, διὰ τὸ νόμιμον εἶναι τοῖς "προσήκουσι τοῦτον τὸν τρόπον μετέρχεσθαι τοὺς φονέας."

Ἐπεσκήψατο: ἀντὶ τοῦ ἐνεκάλεσε ψευδομαρτυριῶν. λέγεται δὲ ἐνίοτε κατὰ τὸ σπάνιον καὶ ἐπὶ τοῦ ἐγκαλέσαι φόνου, ὡς Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως. τῷ δὲ ἐνεργητικῷ τῷ ἐπέσκηψεν ἀντὶ τοῦ ἐνετείλατο Ἰσαῖος ἐν τῇ ὑπὲρ Εὐμάθους εἰς ἐλευθερίαν ἀφαιρέσει. τὸ δὲ ἐπισκήπτω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω καὶ

5. ἘΠΕΔΙΚΆΣΑΤΟ hic et mox iterum. 6. ἐστιν om. 7. ἔπεισαν] ἔπεισεν D. 9. Δημοσθένης—φησιν om. 10. ἀποθανόντος ταῦτα πράττεται. καὶ Ἴστρος ἐν τῇ συναγωγῇ τῶν Ἀτθίδων φησί, τινὲς ἐπὶ—δόρυ φασὶ καταπεπηχέναι τὸν Ἐ. τὸ πάθος—διὰ τὸ νόμον 15. λέγεται—σπάνιον] σπανιάκις δὲ (πολλάκις δὲ Z.) 16. Ἀντιφῶν. τὸ δὲ ἐνεργητικὸν τὸ ἐπέσκηψεν 18. Ἰσαῖος—ἀφαιρέσει om. 19. τὸ δὲ ἐνσκήπτω

1. ἢ om. B.
— κέρδεσιν δι'] κερδαίνειν τοὺς δι' A. κερδέειν, δι' Ald. κερδέειν ἄρτι δι' B. κερδαίνειν ἄρτι δι' N.
— ἀπορίαν] ἀπειρίαν A.B.N. Ald.
— Ἀριστοφάνης] καὶ ἀριστοφάνης C. ἀριστοφάνης ἐν A.B. Ald. Seclusi verba haud dubie ab interpolatore addita.
— Νεφέλαις] v. 41.
3. εἴθ' Ald.: codices αἴθ'.
4. με γῆμ' ἐπῆρε] μ' ἐπῆρε γῆμαι C.
5. Δημοσθένης] p. 1174, 17.
6. προσέκρινε ex Epitome correctum pro προέκρινε.
8. τῇ ἐκφορᾷ—τῷ μνήματι ex Epitome et Demosthene p. 1160, 14. restitui pro τῆς ἐκφορᾶς—τῶν μνημάτων, quod est in A.B.C.G., vel τῆς. ἐκφορᾶς—τῷ μνήματι, quod est in Ald.
10. ἐπὶ τοῦ om. A.B.C.N.
12. φασὶ πεποιῆσθαι] φασὶ περιποιεῖσθαι A. φασί. πεποιῆσθαι δὲ Ald. πεποιῆσθαι φασὶ B.
— παρακαθήμενον Valesius pro παρακαταθέμενον.
14. φονέας] φόνους N.
18. Ἰσαῖος addidit Maussacus.
— τῇ] τῷ A.B. Ald.
—Εὐμάθους Bekkeri editio. Priores Εὐμαθοῦς.
19. καὶ additum ex Epitome.

οἷον ἐξορκίζω Ἀνδοκίδης τε ἐν τῷ περὶ τῶν μυστηρίων καὶ Λυσίας ἐν τῷ ὑπὲρ Κτησιάρχου εἰρήκασιν.

Ἐπιβάτης: Δημοσθένης ἐν τῷ περὶ τοῦ ἐπιτριηραρχήματος. οὕτως ἐκάλουν τῶν ἐν ταῖς τριήρεσι στρατευομένων τοὺς μὴ κωπηλατοῦντας, ἀλλὰ μόνον πρὸς τὸ μάχεσθαι ἐπιτηδείους. Ἀριστοφάνης Βαβυλωνίοις

εὖ γ' ἐξεκολύμβησ' οὐπιβάτης ὡς ἐξοίσων ἐπίγυιον.

Ἐπιβλῆτας: Λυσίας ἐν τῷ κατὰ Μικίνου φόνου, εἰ γνήσιος. ἐπιβλής ἐστιν, ὡς μὲν Τιμαχίδας φησὶ, δοκὸς, ὡς δέ φησι Κλείταρχος ὁ γλωσσογράφος, ποιά τις δοκός.

Ἐπίβοιον: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. Φιλόχορος δ' ἐν β' φησὶν οὕτως· "ἐὰν δέ τις τῇ Ἀθηνᾷ θύῃ βοῦν, ἀναγκαῖόν ἐστι καὶ "τῇ Πανδώρᾳ θύειν ὄϊν, καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίβοιον." ὁμοίως καὶ Στάφυλος ἐν α' τῶν περὶ Ἀθηνῶν.

1. Ἀνδοκίδης καὶ Λυσίας ἔλαβεν :— 3. Δ.—ἐπιτριηραρχήματος om., habet D., in quo Δ. ἐν τῷ περὶ τριηραρχήματος. 4 τοὺς ἐν ταῖς τριήρεσι στρατευομένους καὶ μὴ κωπηλατοῦντας μὲν, ἐπιτηδείους δὲ πρὸς τὸ μάχεσθαι :— 7. ἘΠΙΒΛΗ'Σ. οἱ μέν φασιν ὅτι δοκός ἐστιν, οἱ δὲ ποιός τις δοκός :— 11. ἘΠΙ'ΒΟΙΟΝ. ὅταν τις τῇ Ἀθηνᾷ ἔθυεν βοῦν, ἔθυεν καὶ τῇ Πανδώρᾳ (πανδόρᾳ E.T D.) ὄϊν (sic D., οἷον E.T.) μετὰ βοός. καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίβοιον :—

1. Ἀνδοκίδης] p. 5, 22.

3. Δημοσθένης] p. 1209, 11.

— τοῦ om. B.C.

— ἐπιτριηραρχήματος Gronovii editio. Codices, ut videtur, omnes τριηραρχήματος, quod enotatum ex A.B.C. et habet Ald.

5. Ἀριστοφάνης] Fragm. 51.

7. ἐξεκολύμβησ' οὐπιβάτης Porsonus. Libri ἐξεκολύμβησεν ἐπιβάτης.

— ὡς] ὢν Ald.

— ἐπίγυιον] ἐπίγνον A. ἐπέγνων Ald., alii ἐπίγειον, quod diserte enotatum ex G. Prætuli ἐπίγυιον, quæ est antiquior forma inscriptionum, in quibus ἐπίγυα scriptum est, auctoritate munita, de qua dixit Boeckh. Œcon. vol. 3. p. 162. eandemque restitui infra s. v. ἐπίγυιον, ubi etiam literarum serie commendatur.

8. Μικίνου Sauppius Fragm. p. 197. 200. Libri Νικίου.

10. ποιά τις δοκός] In Epitome πουός τις δοκός. Recte Bernhard. ad Suidam vol. 2. p. 389. judicat legitimam vocem intercidisse, cujus in locum successerit δοκός ex superioribus verbis repetitum. Alii grammatici ἐπιβλής explicant per δοκός vel μοχλός.

11. δ' om. A.B. Ald.

12. β'] δευτέρα C. δευτέρῳ Ald.

13. πανδώρᾳ A. Ald. et Epitome. πανδρόσῳ B.C.P.Q. quod ex conjectura restituerat Meursius Lect. Att. 3, 22. de qua dubitat Hermann. Antiq. sacr. § 61, 8. p. 321.

— ὄϊν C. ὄϊν μετὰ βοὸς A.B.P.Q. Ald. μετὰ βοὸς ὄϊν N.

14. ἐν α'] ἐν πρώτῃ Ald. ἐνά B. θ' C. ἐν ἐννάτῃ G.

— τῶν om. B.C.

— Ἀθηνῶν] ἀθηνᾶς B.C.P.Q.

Ἐπιβολή: ἡ ζημία. πολὺ τοὔνομα παρ᾽ αὐτοῖς, ὡς καὶ παρὰ Λυσίᾳ ἐν τῷ κατὰ Νικομάχου, εἰ γνήσιος ὁ λόγος.

Ἐπιγνώμονας: ἀντὶ τοῦ ἐπισκόπους Λυσίας ἐν τῷ περὶ τοῦ σηκοῦ.

Ἐπιγραφέας: τοὺς καθεστηκότας ἐπὶ τῷ γράφειν ὁπόσον ὀφείλουσιν εἰσφέρειν εἰς τὸ δημόσιον· Λυσίας ἐν τῷ περὶ τῆς εἰσφορᾶς.

Ἐπίγυιον: Λυσίας ἐν τῷ πρὸς Ἀνδοκίδην ἀποστασίου, εἰ γνήσιος. τὰ πρυμνήσια ἐπίγυια ἔλεγον. κέχρηνται τῷ ὀνόματι καὶ οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί· Ἀριστοφάνης Ὁλκάσιν.

Ἐπιδέκατον: τὸ δέκατον Ἰσαῖος ἐν τῷ κατ᾽ Ἐλπαγόρου. καὶ ἐπίπεμπτον εἰώθασι λέγειν τὸ πέμπτον, ὡς καὶ Εὔπολις Αὐτολύκῳ.

Ἐπὶ Δελφινίῳ: δικαστήριόν ἐστιν οὕτω καλούμενον Ἀθήνησι. δικάζονται δὲ ἐνταῦθα οἱ ὁμολογοῦντες μὲν ἀπεκτονέναι, δικαίως δὲ πεποιηκέναι τοῦτο λέγοντες, ὡς Δημοσθένης ἐν τῷ κατ᾽ Ἀριστοκράτους δηλοῖ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Ἐπιδιατίθεσθαι: Λυσίας ἐν τῷ πρὸς Θεοπείθη ἐπιτροπῆς ἐπι-

1. 2. ἘΠΙΒΟΛΉ. *παρὰ τοῖς ῥήτορσιν ἡ ζημία*:— 3. ἘΠΙΓΝΏΜΟΝΑΣ —*ἐπισκόπους καὶ ἐπιγραφέας τοὺς κ. ἐπὶ τοῦ γράφειν ἑκάστῳ ὅσον εἰσφέρειν ὀφείλουσιν εἰς τὸ δ.*:— 7. ἘΠΊΓΝΟΟΝ (*ἐπίγυον* D. et Suidas) *τὰ πρυμνήσια* (*πρυμνίσια* T.) *ἐπίγυα ἔλεγον*:— 10. ἘΠΙΔΈΚΑΤΟΝ. *τὸ δέκατον καὶ ἐπίπεμπτον τὸ ε̄ λέγειν εἰώθασι*:— 12. ἘΠῚ ΔΕΛΦΙΝΊΩΙ. *δικαστήριον Ἀθήνησιν ἐπὶ τῶν ὁμολογούντων μὲν δεδρακέναι φόνους, κατὰ νόμους δέ*:— 16. ἘΠΙΔΙΑΤΊΘΕΣΘΑΙ—*ἐπιλόγῳ* om.

1. *παρ᾽ αὐτοῖς* A. B. C. G. *παρὰ τοῖς ῥήτορσιν* Ald. Sic *παρ᾽ αὐτοῖς* s. v. *ὀρρωδεῖν* et alibi.

— *καὶ παρὰ Λυσίᾳ*] *καὶ λυσίας* C. Est p. 183, 18.

2. *Νικομάχου* Hemsterh. ad Pollux. 8, 21. Legebatur *Νικομαχίδου*.

3. *ἀντὶ τοῦ* om. C.

— *Λυσίας*] p. 110, 28.

— *τοῦ* om. B.C.

5. ἘΠΙΓΡΑΦΈΑΣ] Hæc Maussacus sic interpolavit, *ἐπιγραφεῖς οἱ τὰ δημόσια ἐπιγράφοντες. ὁπότε δεήσειεν ἀργύριον εἰσφέρειν εἰς τὸ δημόσιον τοὺς ἀστοὺς ἢ τοὺς μετοίκους, οἱ ταῦτα διαγράφοντες ἐπιγραφεῖς ἐκαλοῦντο. ἐπιγραφέας ἤτοι*— ex codice Morelli. Verba *ἐπιγραφεῖς. ὁπότε — ἐκαλοῦντο* ex Suida sunt repetita.

5. *τοὺς κ.*] *ἀντὶ τοῦ τοὺς κ.* C.

— *τῷ* ex Zonara p. 791. Libri *τοῦ*.

— *γράφειν*] *ἐπιγράφειν* N.

7. ἘΠΊΓΥΙΟΝ] *ἐπίγυον* A. Ald. *ἀπόγυιον* (ε supra) N. Ceteri *ἐπίγειον*. Vide quæ s. v. *ἐπιβάτης* diximus.

8. *ἐπίγυια*] *ἐπίγυα* A. Ald. Ceteri *ἐπίγεια*.

9. *Ἀριστοφάνης* (Fragm. 371.)] Malim *ὡς Ἀριστοφάνης*, etsi *ὡς* hic facilius abesse patiar quam s. v. *διεκωδώνισε* ante *Εὐριπίδης*.

— *Ὁλκάσιν*] *ἐν ὁλκάσιν* A.

12. *ἔστιν* om. B.C.

14. *Δημοσθένης*] p. 645, 15.

16. *ἐπιλόγῳ*] *λόγῳ* B.G. *λέγω* C.

λόγῳ. ἐπιδιατίθεσθαί ἐστι τὸ συνθήκας τινὰς ποιεῖσθαι κατατιθεμένους τι ῥητὸν ἀργύριον παρά τινι τῶν μεταξὺ γινομένων, ὅσπερ ἐγγυᾶται ἑκατέρῳ ὥστε, εἰ ἡ πρᾶξις γένοιτο, θατέρῳ πάντως τὸ ὡμολογημένον ἀργύριον ἀποδοῦναι. τὸ δὲ πρᾶγμα αὐτὸ λέγεται ἐπιδιαθήκη, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῷ ὑπὲρ Νησοκλέους δηλοῖ.

Ἐπὶ Δηλίῳ μάχη: Λυκοῦργος ἐν τῷ κατὰ Λυσικλέους. Δήλιον χωρίον ἐστὶ τῆς Βοιωτίας· ἐνταῦθα Ἀθηναῖοι μαχόμενοι ἐνικήθησαν ὑπὸ Βοιωτῶν, καθά φησι Θουκυδίδης ἐν δ΄.

Ἐπιδιετὲς ἡβῆσαι: Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου. Δίδυμός φησιν ἀντὶ τοῦ ἐὰν ις΄ ἐτῶν γένωνται· τὸ γὰρ ἡβῆσαι μέχρι ιδ΄ ἔστιν. ἀλλ' οἱ ἔφηβοι παρ' Ἀθηναίοις ὀκτωκαιδεκαετεῖς γίνονται, καὶ μένουσιν ἐν τοῖς ἐφήβοις ἔτη β΄, ἔπειτα τῷ ληξιαρχικῷ ἐγγράφονται γραμματείῳ, καθά φησιν Ὑπερείδης ἐν τῷ πρὸς Χάρητα ἐπιτροπικῷ· "ἐπεὶ δὲ ἐνεγράφην ἐγὼ καὶ ὁ νόμος ἀπέδωκε τὴν κομιδὴν "τῶν καταλειφθέντων τῇ μητρὶ, ὃς κελεύει κυρίους εἶναι τῆς ἐπι- "κλήρου καὶ τῆς οὐσίας ἁπάσης τοὺς παῖδας, ἐπειδὰν ἐπιδιετὲς "ἡβῶσιν."

Ἐπίδικος καὶ ἐπίκληρος καὶ ἐπίπροικος καὶ ἐπικληρῖτις:

1. ἐστι om. τινὰς] ποιάς τινας D. solus. 2. ῥητόν τι ὅσπερ] ὅπερ (sic etiam Suidæ codex unus et ed. Mediol. cum Zonara p. 837.) 3. ἑκατέρῳ om. γένοιτο] γίνοιτο (sic etiam Suidæ liber optimus et Zonaras.) 4. ἀποδοῦναι :— 6. Λυκοῦργος—Δήλιον om. 8. Βοιωτίας τὸ Δήλιον, ἐν ᾧ μαχόμενοι Ἀθηναῖοι ὑπὸ Βοιωτῶν ἐνικήθησαν :— 9. ἘΠΙΔΙ'ΕΤΕΣ (ἐπιδιετὲς Suidas) ῾ΗΒΗ͂ΣΑΙ. ἀντὶ τοῦ ἑκκαίδεκα ἐτῶν γεγονέναι. τὸ γὰρ 11. ιδ΄] τοῦ ιδ D. ἀλλ' οἱ] ἀλλὰ D. ὀκτωκαιδεκαετεῖς γινόμενοι ἐλέγοντο καὶ ἔμενον μὲν ἐν τοῖς ἐφήβοις ἔτη β, ἔπειτα εἰς τὸ ληξιαρχικὸν ἐγράφοντο γραμματεῖον :— 18. ἘΠΙΚΛΗΡΙ͂ΤΙΣ] ἐπικληρίτης hic et infra.

2. γινομένων ex Epitome pro γενομένων. Præsenti utitur etiam s. v. μεσεγγύημα.
— ὅσπερ] ὥσπερ C.
3. γένοιτο om. C.G.
5. ὁ om. C., post αὐτὸς habet B.
— τῷ] τῇ A., om. B.
— Νησοκλέους] νισοκλέους C.
6. Λυσικλέους] νισικλέους C.
7. ἐστὶ] ἐπὶ B.C.
8. φησί om. C.
— ἐν δ΄] Libri ἐν α΄ vel ἐν πρώτῃ, quod est in Ald. Est 4, 90.
9. Δημοσθένης] p. 1135, 4.
10. ις΄] ια΄ C. ἑκκαίδεκα Ald.
— γένωνται] γενόμενοι A. Ald.
11. ιδ΄] τεσσαρεσκαίδεκα Ald. δεκατεσσάρων in Lexico cod. Coisl. 177.
— ἀλλ' οἱ] ἄλλοι B.C.
— παρ' Ἀ. ὀ.] ἐν ἀθηναίοις ὀκτωκαιδεκέτεις N.
14. ἀπέδωκε] ἀποδέδωκε Ald.
16. παῖδας Valesius. Libri ἄπαιδας, pro quo πρώτους παῖδας margo N.
17. ἘΠΙΚΛΗΡΙ͂ΤΙΣ] ἐπικληρίτης B.N.

ἐπίκληρος μέν ἐστιν ἡ ἐπὶ παντὶ τῷ κλήρῳ ὀρφανὴ καταλελειμμένη, μὴ ὄντος αὐτῇ ἀδελφοῦ (ἢ δὲ αὐτὴ καὶ ἐπικληρῖτις)· ἐπίπροικος δὲ ἡ ἐπὶ μέρει τινὶ τοῦ κλήρου ὥστε προῖκα ἔχειν, ἀδελφῶν αὐτῇ ὄντων· ἐπίδικος δὲ ἡ ἀμφισβητουμένη ἐπίκληρος ὅτῳ χρὴ αὐτὴν γαμηθῆναι. ταῦτα δὲ δηλοῦσιν Ἰσαῖος ἐν τῷ πρὸς Σάτυρον ὑπὲρ ἐπικλήρου καὶ Δείναρχος ἐν τῷ ἐπιγραφομένῳ "διαμαρτυρία περὶ τοῦ μὴ ἐπίδικον " εἶναι τὴν Ἀριστοφῶντος θυγατέρα" ἐν δὲ τούτῳ τῷ λόγῳ δείκνυται καὶ ὅτι τὰς ἀπορουμένας κόρας ἐξεδίδοσαν οἱ ἄγχιστα γένους πέντε μνᾶς ἐπιδιδόντες. ὁ δὲ Ἰσαῖος ἐν τῷ πρὸς Λυσίβιον τὴν ἐπίκληρον ἐπικληρῖτιν κέκληκεν.

Ἐπὶ Θρασύλλῳ: *Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ φησὶ "τὸ ἐπὶ Θρασύλλῳ." Ἀττικὸν ἔθος ἀντὶ τοῦ ἐπὶ τῷ Θρασύλλου μνήματι.*

Ἐπιθέτους ἑορτάς: *Ἰσοκράτης Ἀρεοπαγιτικῷ. τὰς μὴ πατρίους, ἄλλως δ' ἐπιψηφισθείσας, ἐπιθέτους ἐκάλουν. ἐλέγετο δὲ παρ' αὐτοῖς καὶ ἄλλα ἐπίθετά τινα, ὁπόσα μὴ πάτρια ὄντα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ἐδίκαζεν, ὡς σαφὲς ποιεῖ Λυσίας ἐν τῷ πρὸς τὴν Μιξιδήμου γραφήν. ἐπιθέτους δὲ ἐπιστολὰς Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου τινὰς ὀνομάζει, λέγοι δ' ἂν τὰς δοθείσας τισὶν ὥστε διακομίσαι· λέγειν γὰρ ἦν εἰθισμένον "ἐπέθηκεν ἐπιστολήν" ἀντὶ τοῦ*

1. *ἐστιν* om. 3. *ὥστε—ὄντων*] *ἥτε προῖκα ἔχειν ἀδελφοὺς ἔχουσα. ἐπίδικος αὐτῇ*] *αὐτῆς* D. 4. *ὅτῳ*] *τίνι* 4—8. *ταῦτα δὲ—ἐπιδιδόντες* om. 9. *ὁ δὲ—κέκληκεν*] *Ἰσαῖος δὲ τὴν ἐπίκληρον ἐν τῷ πρὸς Λυσίβιον ἐπικληρέτιν* (sic etiam Suidæ codex optimus; alii *ἐπικληρίτιν* vel *ἐπικληρίτην*. In D. est *ἐπικληρέτην*.) *ἐκάλεσεν*:— 12. *φησὶ* post *Θρασύλλῳ* *τὸ* om. D. 13. *πατρίους*] *πατρίους ἑορτὰς* 16. *ὁπόσα*] *ὅσα* 17. *ὡς σαφὲς—γραφήν* om. Tum pergitur *Λυσίας δὲ ἐπιθέτους ἐπιστολὰς λέγει τὰς δοθείσας τισὶν ὥστε διακομίσαι. καὶ ἐπιθεῖναι ἐπιστολὰς ἀντὶ τοῦ παραδοῦναι. καὶ ἐπίθηκεν ἀντὶ τοῦ παρέδωκεν*:—

1. *τῷ* om. A.
2. *καὶ* post *αὐτὴ* om. A.C.
5. *ἐπικλήρου*] *κλήρου* B.C.
— *καὶ* om. B.C.
8. *πέντε*] *καὶ* C.
10. *ἐπικληρῖτιν*] *ἐπικληρίτην* A. *ἐπικλήρετον* C.G. *ἐπικληρέτου* B.
11—13. om. C.
11. *Δημοσθένης*] p. 973. extr. in formula *ἐγκλήματος*.
12. *ἐπὶ Θρασύλλῳ*] Sic etiam in marmore Elginiano, de quo dixit Boeckh. Corp. Inscr. vol. 1. p. 288. 290.
12. *τῷ*] *τοῦ* A.
14. *Ἰσοκράτης*] p. 145 c.
15. *ἄλλως*] *ἄλλας* A.
— *δὲ*] *δὲ καὶ* C.
16. *ἄλλα* additum ex Epitome.
— *ὁπόσα*] *ὅσα* B.
17. *τῷ—γραφήν*] *τῇ—γραφῇ* A.B. Ald.

παρέδωκεν, ὡς Δημοσθένης ἐν τῷ ὑπὲρ Χρυσίππου πρὸς τὴν Φορμίωνος παραγραφήν. Κρατῖνος δ' ἐν Τροφωνίῳ * * * *

Ἐπικεκηρυχέναι: Δημοσθένης ἐν τῷ περὶ τῆς πρεσβείας. ὁπότε βούλοιτο πόλις ἢ ἄρχων ἀναιρεθῆναί τινα τῶν μὴ ὑφ' ἑαυτοῖς, ἐκήρυττε δώσειν χρήματα, εἴ τις αὐτὸν ἀνέλοι, τόσα καὶ τόσα, καθάπερ Ξέρξῃ ἐπεκήρυξαν οἱ Ἕλληνες, εἴ τις ἢ ζῶντα ἢ νεκρὸν κατάγοι Ἀθήναζε, δώσειν ρ' τάλαντα.

Ἐπικηρυκεία: τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπειν· Δημοσθένης Φιλιππικῶν ε'.

Ἐπὶ κόρρης: Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. ἄλλοι μὲν ἄλλως ἀπέδοσαν, βέλτιον δὲ ὑπολαμβάνειν ἐπὶ κόρρης λέγεσθαι τὸ ἐπὶ τῆς γνάθου, ὃ λέγομεν ἐν τῷ βίῳ ῥάπισμα. Ὑπερείδης γοῦν ἢ Φιλῖνος ἐν τῷ κατὰ Δωροθέου, προειπὼν τὸν ῥαπίσαντα Ἱππόνικον ἐπὶ κόρρης γραφῆναι ὕβρεως, ἐν τοῖς ἑξῆς ὥσπερ ἐξηγεῖται τοὔνομα λέγων "ἔπειτα Ἱππόνικος ὑπ' Αὐτοκλέους μόνον ἐρραπίσθη τὴν γνάθον, "ἐγὼ δ' ὑπὸ τούτων τῶν τριχῶν εἱλκόμην, κονδύλους ἔλαβον."

Ἐπικράτης: Ἰσαῖος ἐν τῷ περὶ τῶν ἐν Μακεδονίᾳ ῥηθέντων. οὗτός ἐστιν ὁ τῶν Ἀθηναίων δημαγωγὸς ὁ σακεσφόρος ἐπικαλού-

3. Δ.—πρεσβείας om. 5. χρήματα τῷ ἀνελόντι ἢ καὶ (καὶ om. D.) ζῶντα προσάγοντι (προσαγαγόντι Suidas), καθὰ καὶ Ξέρξην (ξέρξιν T.) ἐπεκήρυξαν οἱ Ἕλληνες τῷ καταγαγόντι ἢ ζῶντα (ἢ ζῶντα om. D.) ἢ τεθνηκότα Ἀθήναζε ρ̄ δώσειν τάλαντα:— 9. ε̄ Φιλιππικῶν:— 10. ΚΟ'ΡΡΗΣ] κόρης (κόρρης Suidas) Δ.—Μειδίου om. 11. βέλτιον δὲ ἐπὶ τῆς γνάθου ἐκλαμβάνειν, ὃ κατ' ἔθος λέγομεν ῥάπισμα. οὕτω γὰρ χρῶνται καὶ οἱ ῥήτορες:— 17. Ἰσαῖος—ὁ τῶν om. 18. ὁ σακεσφόρος] ὁ καὶ (ὁ καὶ om. Suidas) ἔφορος

1. Δημοσθένης] p. 915, 17.

2. Lacunam post Τροφωνίῳ indicavit Sauppius Fragm. p. 189.

3. Δημοσθένης] p. 347, 25.

— πρεσβείας] παραπρεσβείας Ald.

4. τῶν μὴ ex Epitome pro τῶν μὴ ὄντων.

5. ἐκήρυττε A. Ald. et Epitome. Ceteri ἐκήρυσσε.

6. ἢ ζῶντα] ἢ om. B.C.

7. κατάγοι] καταγάγοι B. Ald.

9. Δημοσθένης] p. 61, 23.

— Φιλιππικῶν] φιλιππικῷ A.B.N.

10. Δημοσθένης] p. 537. extr. 562, 9.

— ἐν τῷ om. A.

12. ἐν τῷ βίῳ] Id est *in lingua vulgari*: v. quæ dixi in Thesauro vol. 2. p. 254 d.

— γοῦν Bekkerus. Libri οὖν.

13. τὸν ῥαπίσαντα (*eum qui Hipponico alapam duxisset*) Sauppius Fragm. p. 291. Legebatur ῥαπίσαντα τὸν.

14. ἐξηγεῖται—λέγων] ἐξηγούμενος—λέγει C G.

16. ἔλαβον] τ' ἔλαβον N.

18. ὁ ante σακεσφόρος recte fortasse omisit Suidas.

— σακεσφόρος Maussacus collatis comicorum locis, ubi ita appellatur, de quibus dixit Bergk. in

μενος, οὗ μνημονεύει καὶ Δημοσθένης ἐν τῷ περὶ τῆς πρεσβείας. ἕτερος δ' ἐστὶν Ἐπικράτης οὗ μνημονεύει Λυκοῦργος ἐν τῷ περὶ διοικήσεως, λέγων ὡς χαλκοῦς ἐστάθη διὰ τὸν νόμον τὸν περὶ τῶν ἐφήβων, ὅν φασι κεκτῆσθαι ταλάντων ἑξακοσίων οὐσίαν. ἄλλος δ' ἐστὶν Ἐπικράτης Αἰσχίνου τοῦ ῥήτορος κηδεστὴς, ὡς δηλοῦται ὑπ' αὐτοῦ ἐν τῇ περὶ τῆς πρεσβείας ἀπολογίᾳ· οὗτος μέντοι ἐπωνύμιον εἶχε Κυρηβίων, ὡς Δημοσθένης φησὶν ἐν τῷ κατ' Αἰσχίνου.

Ἐπιλαχών: Αἰσχίνης κατὰ Κτησιφῶντος "οὔτε λαχὼν οὔτ' "ἐπιλαχὼν, ἀλλ' ἐκ παρασκευῆς πριάμενος." ἔοικε τὸ γιγνόμενον τοιοῦτον εἶναι. ἐκληροῦντο οἱ βουλεύειν ἢ ἄρχειν ἐφιέμενοι, ἔπειτα ἑκάστῳ τῶν λαχόντων ἕτερος ἐπελάγχανεν, ἵν' ἐὰν ὁ πρῶτος λαχὼν ἀποδοκιμασθῇ ἢ τελευτήσῃ, ἀντ' ἐκείνου γένηται βουλευτὴς ὁ ἐπιλαχὼν αὐτῷ. ὑποφαίνεται δὲ ταῦτα ἐν τῷ Πλάτωνος Ὑπερβόλῳ.

Ἐπιμελητὴς τῶν μυστηρίων: παρ' Ἀθηναίοις ὁ λεγόμενος βασιλεύς· Δημοσθένης κατὰ Μειδίου. Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ φησὶν οὕτως "ὁ δὲ βασιλεὺς πρῶτον μὲν τῶν μυστηρίων "ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν, οὓς ὁ δῆμος χειροτονεῖ, β' μὲν "ἐξ Ἀθηναίων ἁπάντων, ἕνα δ' ἐξ Εὐμολπιδῶν, ἕνα δ' ἐκ Κηρύκων."

1. οὗ καὶ Δημοσθένης ἐν τῷ παραπρεσβείας μνημονεύει. ἕτερος δέ ἐστιν οὗ μνημονεύει Λυκοῦργος 3. λέγων—ἐφήβων om. 5. ὡς δηλοῦται—μέντοι om. 6. ἐπωνύμιον εἶχε] ᾧ ἐπώνυμιον κηρυκίων D. κυρηκίων E.T. Recte apud Suidam. 7. φησὶν om. 8. ἐν τῷ κατὰ 9. ἔοικε—εἶναι] τοιοῦτον δ' ἐστὶ τὸ λεγόμενον 10. ἢ om., habet Suidas. 11. ὁ προλαχὼν 12. βουλευτὴς ἢ ἄρχων ὁ ἐπιλαχών :— 15 Δημοσθένης—ὁ δὲ βασιλεὺς om. 17. τῶν om. 17. β' μὲν] δ̄ δὲ ἦσαν, β̄ μὲν 18. ἕνα δ' ἐξ—ἕνα δ' ἐκ] ᾱ δὲ ἐξ—καὶ ᾱ ἐκ

libro de reliquiis com. Att. p. 389. Libri καὶ ἔφορος. In Isæi oratione Epicratem exempli caussa memoratum esse monuit Weissenbornius apud Saupp. Fragm. p. 238., quemadmodum etiam ab Demosthene factum est p. 430, 4.

1. μνημονεύει καὶ Δημοσθένης] δημοσθένης μνημονεύει B.C.

— πρεσβείας] παραπρεσβείας Ald.

3. χαλκοῦς] χαλκοῦν A. Ald.

6. πρεσβείας] παραπρεσβείας Ald. Locus Æschinis est p. 48, 14.

— Κυρηβίων] κηρυβίων A. Ald.

7. ὡς] ὡς ὁ A.C. Ald.

7. Δημοσθένης] p. 433, 21.

8. Αἰσχίνης] p. 62, 31.

12. γένηται] ᾖ N.

14. Ἀθηναίοις] αὐτοῖς N.

— λεγόμενος βασιλεὺς] δικαστής C.

15. Δημοσθένης] p. 570, 6.

— δ' addidi ex A.

16. φησὶν] βοᾷ B.C.

— τῶν om. B.C. et Epitome.

17. χειροτονεῖ Bekkerus. Legebatur ἐχειροτόνει, quod qui servare volet verba οὓς ὁ δῆμος—Κηρύκων non Aristotelis, sed Harpocrationis esse credere debebit. Verum hoc parum probabile. Post ἐχειροτόνει

Ἐπιμελητὴς ἐμπορίου: Δείναρχος ἐν τῷ κατὰ Πυθέου. Ἀριστοτέλης "ἐμπορίου δ' ἐπιμελητὰς ί κληροῦσιν, τούτοις δὲ προστέ-"τακται τῶν τε ἐμπόρων ἐπιμελεῖσθαι, καὶ τοῦ σίτου τοῦ καταπλέ-"οντος εἰς τὸ Ἀττικὸν ἐμπόριον τὰ β' μέρη τοὺς ἐμπόρους ἀναγκά-"ζειν εἰς τὸ ἄστυ κομίζειν."

Ἐπιμήνια: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ἔοικεν εἶναι ἐπιμήνια ἤτοι τὰ καθ' ἕκαστον μῆνα θυόμενα, ἢ τὰ ὑπὲρ ὅλου τοῦ μηνὸς ἅπαξ ποτὲ γιγνόμενα θύματα.

Ἐπιορκήσαντα: Λυσίας κατὰ Θεομνήστου ἐξηγήσατο ὅτι τὸ ἐπιορκήσαντα ὀμόσαντα ἐστίν.

Ἐπὶ Παλλαδίῳ: Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. δικαστήριόν ἐστιν οὕτω καλούμενον, ὡς καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ, ἐν ᾧ δικάζουσιν ἀκουσίου φόνου καὶ βουλεύσεως οἱ ἐφέται. ἔσχε δὲ καὶ τὸ δικαστήριον τὴν τοῦ Παλλαδίου ἐπωνυμίαν καὶ οἱ δικασταὶ τὴν τῶν ἐφετῶν ἐντεῦθεν. Ἀγαμέμνονος μετὰ τῶν Ἀργείων σὺν τῷ Παλλαδίῳ προσενεχθέντος Ἀθήναις ἐξ Ἰλίου Δημοφῶν ἁρπάζει τὸ Παλλάδιον καὶ πολλοὺς τῶν διωκόντων ἀναιρεῖ. Ἀγαμέμνων

1. ἘΠΙΜΕΛΗΤΆΣ Ἐ. *δέκα ἐκλήρουν ἐπιμελητὰς οἱ Ἀθηναῖοι ἐμπορίου, οἷς προστέτακτο τῶν τε ἐμπορίων ἐπιμελεῖσθαι καὶ τοῦ σίτου* (*τοῦ* addit D.) *καταπλέοντος—μέρη ἀναγκάζειν—κομίζειν*:— 6. *Λυκοῦργος—ἤτοι* om. 7. *θυόμενα*] *φυόμενα* 8. *γενόμενα* (sic Suidæ codex A.: ceteri *γινόμενα*) 9. *κατὰ—ὅτι τὸ* om. 10. *ὀμόσαντα ἐστίν*] *τὸν ὀμόσαντα εἶπεν*:— 11. ἘΠΙ᾿ ΠΑΛΛΑΔΙ᾿ΩΙ. *δικαστήριον Ἀθήνησιν, ἐν ᾧ οἱ ἐφέται ἀκουσίου φόνου ἐδίκαζον. ἔσχεν δὲ καὶ τὸ δικαστήριον*— Prima verba *ἐπὶ Παλλαδίῳ—ἐδίκαζον* ab Harpocratione sumsit Suidas, etiam in postremis glossæ verbis *διὰ τὸ—κρίσεως* cum Harpocratione consentit, reliqua omisit, substituta ampliore expositione, de qua infra dixi.

Ald. pergit, *τέσσαρες ἦσαν, δύο μὲν— εἷς δὲ ἐξ* E. *καὶ εἷς ἐκ* K., haud dubie ex Suida, qui Epitomen sequitur.

1—5. om. C.

1. ἘΠΙΜΕΛΗΤΗ᾿Σ] *ἐπιμελητὰς* Epitome et recte fortasse.

2. *κληροῦσιν*] *κληροῦσθαι* B.

3. *τε* om. A.

— *ἐμπόρων* Bekkerus in indice p. 229. Legebatur *ἐμπορίων*.

7. *θυόμενα*] *ὑπὲρ τῆς πόλεως* additur in gl. simili Lex. rhet. Bekk. p. 254, 12.

— *τοῦ* additum ex Epitome.

9. *Λυσίας*] p. 117, 35.

11. *Δημοσθένης*] p. 643, 20.

— *ἐν τῷ* om. B.

14. *δὲ καὶ τὸ*] *δὲ τὸ* Ald.

15. *Ἀγαμέμνονος*—] Hanc Clitodemi narrationem esse intelligitur ex Suida s. v. *ἐπὶ Παλλαδίῳ*, quæ glossa haud dubie sumta est ex Photii Lexico, ubi incidit in lacunam codicis Galeani (inter glossas *ἀδιάκριτος—ἐπώνυμοι*). Photius autem sua debuit Pausaniæ Lexico, ex quo eadem omnia protulit Eustath. ad Homer. p. 1419.

17. *Ἀγαμέμνων—ἀπαιτεῖ* om. C. Ald.

δὲ δυσχεράνας δίκην τὸν ἁρπάσαντα ἀπαιτεῖ, καὶ συνίσταται τὸ δικαστήριον ἐπὶ πεντήκοντα μὲν Ἀθηναίων, πεντήκοντα δὲ Ἀργείων, οὓς ἐφέτας ἐκάλεσαν διὰ τὸ παρ' ἀμφοτέρων ἐφεθῆναι αὐτοῖς τὰ τῆς κρίσεως.

Ἐπίπεμπτον: Λυσίας ἐν τῷ πρὸς Κριτόδημον καὶ Πλάτων ἀντὶ ἁπλοῦ τοῦ πέμπτου. Ἀριστοφάνης Δαιταλεῦσιν

οὐ μὴ μεταλάβῃ τοὐπίπεμπτον, κλαίτω.

Ἔπιπλον: Ἰσαῖος ἐν τῷ πρὸς Διοκλέα. τὰ κατὰ τὴν οἰκίαν σκεύη ἔπιπλα λέγουσι, τὴν οἷον ἐπιπόλαιον κτῆσιν καὶ μετακομίζεσθαι δυναμένην. Σοφοκλῆς Ἀθάμαντι.

Ἐπὶ Πρυτανείῳ: δικαστήριόν ἐστι καὶ τοῦτο φονικὸν, δικάζει δὲ ἄν τι τῶν ἀψύχων ἐμπεσὸν ἀποκτείνῃ τινὰ, τοῦτο δ' ἐστὶν ἐὰν λίθος ἢ ξύλον ἢ σίδηρος ἤ τι τοιοῦτον, καὶ τὸν μὲν βαλόντα ἀγνοῇ, αὐτὸ δὲ εἰδῇ καὶ ἔχῃ τὸ τὸν φόνον εἰργασμένον.

Ἐπισημαίνεσθαι: ἀντὶ τοῦ ἐπαινεῖν μὲν καὶ ὡς ἐν τῇ συνηθείᾳ λέγομεν ἐπιφωνεῖν Ἰσοκράτης Παναθηναϊκῷ, ἀντὶ δὲ τοῦ ἐπι-

1. ἀπαιτεῖ] ἀναιρεῖ δικαστήριον] κριτήριον 3. ἐκάλεσαν παρὰ τὸ ἀμφοτέρων 5. Λυσίας μὲν ἀντὶ ἁπλοῦ τὸ πέμπτον εἶπεν:— 8—10. ἔπιπλα τὰ ἐξεπιπολῆς σκεύη, οἷον ἡ ἐπιπόλαιος κτῆσις καὶ ὅση δυνατὴ πλοΐζεσθαι, ἀλλ' οὐκ ἔγγειος:— 11—14. 'ΕΠΙ' ΠΡΥΤΑΝΕΙ'ΩΙ. φονικὸν (φονικὸν om. Suidas) δικαστήριον, ὅταν τὸ μὲν ἀποκτεῖναν βέλος ἢ λίθος ἤ τι τοιοῦτον φανερὸν ᾖ, ὁ δὲ δράσας οὐκέτι. ἀρχαῖον γὰρ ἔθος ἦν τὸ καὶ τὰ ἄψυχα κρίνειν εἰ χρὴ ἐξορίζεσθαι:— Apud Suidam βέλος ᾖ φανερὸν ἢ λίθος ἤ τι τοιοῦτον, ὁ δὲ δράσας μὴ ᾖ. ἀρχαῖον γὰρ ἔθος (ἦν post ἔθος etiam D. omisit) τὸ—ἐξορίζεσθαι:— 15. ὡς—λέγομεν om. 16. Παναθηναϊκῷ om.

1. ἀπαιτεῖ Blancardus. Libri ἀναιρεῖ.

— δικαστήριον C.G. Ceteri κριτήριον.

3. διὰ τὸ παρ' ἀμφοτέρων scripsi ex Suida. Legebatur παρὰ τὸ ἀμφοτέρων, omisso διὰ τό. In N. est παρὰ τὸ ἀμφοτέρωθεν, quæ haud dubie correctoris conjectura est.

— ἐφεθῆναι] ἀφεθῆναι B.C.

— αὐτοῖς] αὐτῷ N.

5—7. om. C.

5. Πλάτων] Comicum dicere videtur.

— ἀντὶ] ἀντὶ τοῦ Ald.

6. Ἀριστοφάνης] Fragm. 17.

7. οὐ codices. εἰ Ald. ἦν Brunckius conjectura probabili, sed, quum nesciamus quæ verba præcesserint, incerta.

9. μετακομίζεσθαι] μετακομισθῆναι A. κατακομίζεσθαι C.

10. Ἀθάμαντι Casaubonus. Legebatur Ἀκάμαντι. Est fragm. 7.

11—14. om. C.

11. 'ΕΠΙ' ΠΡΥΤΑΝΕΙ'ΩΙ] Hæc gl. haud dubie spectat ad Demosth. c. Aristocratem p. 645, 15. ut ἐπὶ Παλλαδίῳ et alia indidem sumta.

— ἐστι om. N.

14. σίδηρος] σίδηρον A.N.

15. μὲν additum ex Epitome.

16. Ἰσοκράτης] p. 233 b.

— δὲ om. B.

σφραγίσαι Ἰσαῖος ἐν τῇ ἐξούλης Καλυδῶνι πρὸς Ἀγνόθεον ἀπολογίᾳ.

Ἐπισίτια: τὰ εἰς τροφὴν καὶ εἰς τὸ σιτεῖσθαι διδόμενα· Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς. ταῦτα δὲ ἐνίοτε ἐκάλουν καὶ σιτίον.

Ἐπίσκοπος: Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου καὶ ἐν τῷ κατὰ Λαισποδίου. ἐοίκασιν ἐκπέμπεσθαί τινες ὑπὸ Ἀθηναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκεπτόμενοι τὰ παρ' ἑκάστοις. Θεόφραστος γοῦν ἐν α' τῶν πολιτικῶν τῶν πρὸς καιροὺς φησὶν οὕτω "πολλῷ γὰρ κάλ- "λιον κατά γε τὴν τοῦ ὀνόματος θέσιν, ὡς οἱ Λάκωνες ἁρμοστὰς "φάσκοντες εἰς τὰς πόλεις πέμπειν, οὐκ ἐπισκόπους οὐδὲ φύλακας, "ὡς Ἀθηναῖοι."

Ἐπιστάτης: Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους. δύο εἰσὶν οἱ καθιστάμενοι ἐπιστάται, ὁ μὲν ἐκ πρυτάνεων κληρούμενος ὁ δὲ ἐκ τῶν προέδρων, ὧν ἑκάτερος τίνα διοίκησιν διοικεῖ δεδήλωκεν ὁ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. ἐλέγετο δ' ἐν τοῖς κοινοῖς καὶ ὁ ἐφεστηκὼς πράγματι ὁτῳοῦν, ὡς Ὑπερείδης τε ἐν τῷ κατὰ Δημοσθένους καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος φανερὸν ποιοῦσιν.

Ἐπίσταθμος: Ἰσοκράτης Πανηγυρικῷ "Ἑκατόμνως ὁ Καρίας

1. Ἰσαῖος:— 3. Λυσίας—ἐπιτροπῆς om. 6. ἘΠΙ'ΣΚΟΠΟΣ. οἱ παρ' Ἀθηναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκέψασθαι τὰ παρ' ἑκάστοις πεμπόμενοι ἐπίσκοποι καὶ φύλακες ἐκαλοῦντο, οὓς οἱ Λάκωνες ἁρμοστὰς ἔλεγον:— 13. ἘΠΙΣΤΑ'ΤΗΣ. δύο ἦσαν Ἀθήνησιν, ὧν ὁ μὲν ἐκ πρυτάνεων ἐκληροῦτο, ὁ δὲ ἐκ τῶν προέδρων. ἐλέγετο δὲ καὶ ὁ ἐν τοῖς κοινοῖς ἐφεστηκὼς πράγματι ᾡτινιοῦν:—

1. Ἰσαῖος] Ex quo ἐπισημηνάμενος citat Pollux 8, 27.
— πρὸς Ἀ. ἀ.] ἀ. πρὸς ἀ. B.
3. τὰ] ἀντὶ τοῦ A.B.C.
— εἰς] ἐπὶ C.
— καὶ om. B.C.
4. ἐπιτροπῆς] ἐπιτροπικῷ B.
7. ἐοίκασιν—τὰ παρ' ἑκάστοις A. B.C.G. Pro his verbis in Ald. illata sunt verba Epitomes οἱ παρ' Ἀθηναίων usque ad ἁρμοστὰς ἔλεγον, quæ interpolator ex Suida sumsit.
8. γοῦν ἐν α'] οὖν ἐν ᾱ C.
9. τῶν πρὸς καιροὺς om. B.C.N.
10. γε om. N.
11. οὐκ om. N.
— οὐδὲ] ἢ N.
13. Δημοφάνους Maussacus. δημοσθένους A. Ald. et fortasse B. δημοσθένης C.
15. προέδρων] δέκα προέδρων in glossa simili in Lex. rhet. Bekk. p. 245, 1. Qui numerus fortasse excidit apud Harpocrationem. De epistatis illis dixit C.F. Hermannus in Epicrisi quæstionis de proedris apud Athenienses, Gottingæ edita a. 1843., p. 6.
— τίνα] τίνος B.C.
17. τε om. B.C.
18. Αἰσχίνης] p. 55, 41. 56, 1. 58, 4.
— κατὰ om. A.
19. Ἰσοκράτης] p. 74 d.
— Ἑκατόμνως (quo etiam accen-

" ἐπίσταθμος," ὃ οὐδὲν ἕτερον ἦν ἢ κατὰ σατραπείαν Καρίας κύριος.

Ἐπιτελεοῦν καὶ ἐπιτελέωμα: ἀμφότερα πολλάκις ἐστὶ τὰ ὀνόματα ἐν τῷ περὶ τῆς ἱερείας Λυκούργου, ἔοικε δὲ ἐπιτελέωμα λέγεσθαι τὸ ἐπὶ πᾶσι θυόμενον ὑπὲρ τοῦ ἐπιτελεῖς γενέσθαι τὰς πρότερον θυσίας. αὐτὸς γοῦν ὁ ῥήτωρ ἐν τῷ λόγῳ φησὶν " ἔτι τοίνυν ἔφη " πάντων ὕστατα ταῦτα θύεσθαι καὶ ἐπιτελεώματα εἶναι τῶν ἄλλων " θυμάτων."

Ἐπιτιμηταί: οἱ μὲν τὸ πρῶτον τιμώμενοί τι τιμηταὶ ἐκαλοῦντο, οἱ δὲ τοῖς ἑξῆς ἔτεσι τὰ αὐτὰ τιμώμενοι ἐπιτιμηταί· Λυσίας ἐν τῷ κατὰ Διογένους.

Ἐπιτείχισμα: τὸ τειχιζόμενον κατά τινων χωρίον, ὅθεν ὁρμώμενοι οἱ τειχίσαντες κακῶς δυνήσονται ποιεῖν τοὺς ἐπιτειχισθέντας· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. καὶ τὸ πρᾶγμα δὲ ἐπιτειχισμὸν ὀνομάζουσιν, ὥσπερ ἐν ταὐτῷ λόγῳ ἐστίν.

Ἐπιτρέπειν: Δημοσθένης ἐν τῷ κατ᾽ Ἀφόβου α′ οὕτως ἤρξατο

1. ὃ] ὃς σατραπείαν (sic Suidas)] σατραπίαν 3. ἀμφότερα—ἔοικε δὲ om. 4. λέγεσθαι] λέγεται 5. ἐπιτελεῖς γενέσθαι] τέλεια (τελείας Suidas) γένεσθαι 6. θυσίας:— 9. οἱ μὲν—Διογένους] τιμηταὶ μὲν οἱ πρῶτόν τι ἐκαλοῦντο τιμώμενοι, ἐπιτιμηταὶ δὲ οἱ χρόνῳ ὕστερον τὰ αὐτὰ τιμώμενοι:— 12—15. ὅθεν—ἐστίν] ὅθεν ἦν τοὺς ἐπιτειχισθέντας κακῶς ποιεῖν. καὶ τὸ πρᾶγμα δὲ ἐπιτειχισμὸς Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος:— 16. ἘΠΙΤΡΈ-ΠΕΙΝ—οἰκείοις ἐπιτρέπειν ἀντὶ] ἐπιτρέπειν τοῖς οἰκείοις Δημοσθένης ἀντὶ

tus Ἑκατόμνος in Ald. et apud Suidam ducit) restitui ex Epitome pro Ἑκάτομνος, consentiente Isocratis codice optimo. Vide quæ s. v. Ἑκατόμνως diximus.

1. ὃ Henr. Stephanus. Legebatur ὃς.

— ἦν om. N.

2. κύριος Epitome pro κύριος ὑπῆρχεν.

5. τὸ—γένεσθαι om. B., τὸ—ὕστατα αὐτὰ om. C.

— γενέσθαι] γίνεσθαι cum Epitome N.

6. ἔτι τοίνυν ἔφη om. B.

9. πρῶτον] πρῶτον ἔτος N.

— τι om. B.G.N.

10. τὰ αὐτὰ] ταῦτα ἢ τὰ αὐτὰ A.B.N.

11. κατὰ Διογένους] Recte apud Harpocrationem alibi πρὸς Διογένην, ut monet Sauppius Fragm. p. 184.

12. τειχιζόμενον] ἐπιτειχιζομένον C.

13. κατά τινων om. B. κατά τινος C.G.

14. Δημοσθένης] p. 254, 19.

15. ταὐτῷ] τῷ αὐτῷ B.

16. ἘΠΙΤΡΈΠΕΙΝ] Legebatur ἐπιτροπήν (ἐπιτροπή C.). Recepi probabiliorem et literarum ordini magis convenientem scripturam Epitomes, quod fecit etiam Sauppius Fragm. p. 182. etsi ex verbis Epitomes non potest demonstrari non lectum esse ἐπιτροπήν.

— Hujus glossæ initium Ald. ex Suidæ glossa ab Harpocratione alienissima sic interpolatum exhibet, ἐπιτροπὴ, παρατροπή. ὁ δὲ Λεύκιος ἐπιχειριζόμενος (προχειριζόμενος

" εἰ μὲν ἐβούλετο Ἄφοβος, ὦ ἄνδρες δικασταὶ, δίκαια ποιεῖν περὶ ὧν " διαφερόμεθα τοῖς τε οἰκείοις ἐπιτρέπειν" ἀντὶ τοῦ διαιτητὰς αὐτοὺς αἱρεῖσθαι· ὅθεν καὶ Μενάνδρου δρᾶμα Ἐπιτρέποντες. Λυσίας δ' ἐν τῷ πρὸς τοὺς ἐπιτρόπους τῶν Βόωνος παίδων " ἐπέτρεψεν" εἶπεν " ἀν- " δράσιν" ἀντὶ τοῦ ἐπιτρόπους κατέστησεν.

Ἐπιτρίταις: Ἰσαῖος ἐν τῷ κατὰ Καλλιφῶντος " ἑξακοσίαις " δραχμαῖς ἐπιτρίταις" ἀντὶ τοῦ ἐπὶ η' ὀβολοῖς, κατὰ τὸ τρίτον εἶναι μέρος τοὺς η' ὀβολοὺς τοῦ τετραδράχμου.

Ἐπιχάρης: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ὄνομα κύριον, Σικυώνιος προδότης.

Ἐπιχειροτονία: ἡ τῶν χειροτονητῶν κατάστασις· Ὑπερείδης ἐν τῷ ὑπὲρ Σιμίου πρὸς Πυθέαν καὶ Λυκοῦργον.

Ἐπιψηφίζων: ἀντὶ τοῦ ἐπικυρῶν· Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος. πολὺ δέ ἐστι παρὰ τοῖς Ἀττικοῖς τοὔνομα ἐπὶ τούτου τοῦ σημαινομένου, ὡς καὶ παρὰ Ξενοφῶντι ἐν α' Ἀπομνημονευμάτων.

2. διαιτητὰς] δικαστὰς 3—5. αἱρεῖσθαι—ἀντὶ τοῦ] αἱρεῖσθαι. Λυσίας δὲ ἐπέτρεψεν ἀνδράσιν εἶπεν ἀντὶ τοῦ 7. τρίτον—μέρος] τρίτον (sic, consentiente Suida et Etym. M.)—μερίδα. 9. Δ. ἐν—Κτ. post προδότης. ὄνομα κύριον om. 11. κατάστασις] ἀπόστασις :— 13. 'ΕΠΙΨΗΦΙ'ΖΩΝ. ἐπικυρῶν :—

apud Suidam) διαπέμπεσθαι πρὸς τοὺς Λαπατηνοὺς καὶ λαλεῖν ὑπὲρ ἐπιτροπῆς ἀπαράσκευος ἦν εἰς τὸ μέλλον. (Hæc inter Polybii fragmenta retulit Fulv. Ursinus.) καὶ Δημοσθένης ἐν τῷ κατὰ 'Αφόβου πρώτῳ etc.

1. δικασταὶ om. A.B.C.

4. Βόωνος] Scribebatur Βοῶνος. Vide quæ s. v. ἀνάγειν diximus.

— ἐπέτρεψεν—κατέστησεν] ἐπέτρεψαν—κατέστησαν ap. Zonaram et Favorinum.

— εἶπεν ἀνδράσιν] εἶπε τοῖς ἀνδράσιν Sauppius Fragm. p. 182.

6. κατὰ Καλλιφῶντος] δευτέρῳ Καλλιφῶντος Etym. M. p. 366, 54 vitiose.

7. ἀντὶ τοῦ ἐπὶ η' ὀβολοῖς] Quod Harpocratio tradit verum non est: nam τόκοι ἐπίτριτοι sunt $33\frac{1}{3}$ centesimarum, τόκοι ἐπ' η' ὀβολοῖς sunt 16 centesimarum, ut recte monet Saupp. Fragm. p. 237. citato Boeckh. Œcon. vol. 1. p. 173. 192. ed. sec. Feminina terminatio ἐπιτρίταις, in qua consentit Lex. rhet. Bekk. p. 253, 13. non immerito suspecta fuit H. Stephano.

7. κατὰ τὸ] ὥστε N.

8. τετραδράχμου] δ̄ δραχμοῦ codices nonnulli, inter quos T., quod compendium male intellectum fecit ut τετάρτου δραγμοῦ scriberetur in Etym. M. codice Dorvilliano. Inepte τῆς δραχμῆς in Lex. rhet. Bekk. p. 253, 15.

9.—12. om. C.

9. Δημοσθένης] p. 324.

— κύριον om. A.B.

11. χειροτονητῶν] χειροτονησάντων B.

12. Σιμίου] Scribebatur Σιμμίου. συμμίου Ald. σημείου B.

13. Δημοσθένης Maussacus. Libri Αἰσχίνης. Est p. 596, 4.

15. ἐν α' (πρώτῃ Ald.) 'Απομνημονευμάτων] c. 1, 18.

Ἐπόγδοον: Δημοσθένης ἐν τῷ πρὸς Πολυκλέα περὶ τοῦ ἐπιτριηραρχήματος. εἴη δ' ἂν ἐπόγδοον τὸ οὕτω δεδανεισμένον ὥστε τοῦ κεφαλαίου τὸ ὄγδοον μέρος δοθῆναι τῷ δανειστῇ, οἷον τριώβολον τοῦ τετραδράχμου.

Ἐπωβελία: Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου. ἐπιτίμιόν ἐστιν ἡ ἐπωβελία τὸ ἕκτον μέρος τοῦ τιμήματος, ὅπερ ἐδίδοσαν οἱ διώκοντες τοῖς φεύγουσιν, εἰ μὴ ἕλοιεν. ἐκαλεῖτο δὲ οὕτως, ὅτι καθ' ἑκάστην δραχμὴν ὀβολὸς ἦν, ὅπερ ἕκτον ἐστὶν, ἐν ἓξ ὀβολοῖς τῆς δραχμῆς λογιζομένης. ἐκ πολλῶν δὲ ἔστι τοῦτο οὕτως ἔχον μαθεῖν.

Ἐπώνια: τέλος ἐστὶ τὸ ἐπὶ τῇ ὠνῇ διδόμενον, εἴη δ' ἂν ἴσως ἡ πέμπτη· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους κἂν τῇ πρὸς Τληπόλεμον ἀντωμοσίᾳ.

1. ἘΠΟΓΔΟΟΝ—εἴη δ' ἂν om. 2. οὕτω om. 3. μέρος λαβεῖν τὸν δανειστὴν τριώβολον] τὸν (τὸ Suidas) τριώβολον 5. ἘΠΩΒΕΛΙΑ—ἐστιν ἡ om. 6. ἕκτον—μαθεῖν] ἕκτον τίμημα τῆς δίκης ὃ ἐπράττον οἱ γραψάμενοί τινας καὶ μὴ ἑλόντες αὐτοῖς τοῖς γραφεῖσιν. ἐκαλεῖτο δὲ οὕτως ὅτι καθ' ἑκάστην δραχμὴν ὀβελὸς (ὀβελὸς etiam Z. et Suidas) ἦν:— 10. ἘΠΩΝΙΑ (ἐπώνια Suidas) ἐστὶ τὸ ἐπὶ] ἐστὶν ἐπὶ D. 11. πέμπτη:—

1. Δημοσθένης] p. 1212, 2.

2. ἐπωβελία N. Legebatur ἐπωβελίαι, ἐποβολίαι B. ἐπιβολαὶ C.

— Δημοσθένης] p. 1103, 15.

6. ἡ ἐπωβελία] ἡ ἐποβολία B. ἡ ἐπιβολὴ C.

— τὸ ἕκτον—ἐκαλεῖτο] His verbis Ald. substituit quæ supra ex Epitome attulimus. Sumsit autem ex Suida et ita quidem ut pro τὸ ἕκτον τίμημα τῆς δίκης ὃ poneret τὸ ἕκτον μέρος τοῦ τιμήματος ὃ—.

10. ἘΠΩΝΙΑ] Libri ἐπωνία (ἐπωνίαι C.) Recto accentu apud Suidam aliosque grammaticos: vid. Kuhn. ad Polluc. 7, 15. In vitioso consentit Etym. M. p. 368, 30. Eodem modo κηρυκεία apud Harpocr. s. h. v. male scriptum erat pro κηρύκεια.

— ἐπὶ] ἐν N., om. B.

11. πέμπτη] Hoc incredibile esse judicat Boeckh. Œcon. vol. 1. p. 440. rectumque numerum videri ἑκατοστή, quem ponit Lex. rhet. Bekk. p. 255, 1. ἐπώνια καὶ κηρύκεια: ἐπώνια μὲν τὰ ἐπὶ τῇ ὠνῇ προσκαταβαλλόμενα ὥσπερ ἑκατοσταί τινες, κηρύκεια δὲ (de quibus v. Harpocr. s. h. v.) τὰ τῷ κήρυκι διδόμενα ὑπὲρ τοῦ κηρύττειν τὰ τέλη πιπρασκόμενα. Omittit numerum Pollux 7, 15. τὰ δὲ καταβαλλόμενα ὑπὲρ τῶν πιπρασκομένων τέλη ἐπώνια λέγουσι. Agris venditis centesimam numeratam fuisse Boeckhius ostendit veteris tituli auctoritate ibid. et vol. 2. p. 348. Longe alia de his Bakii sententia est Schol. Hypomn. vol. 4. p. 273. 274. qui ἐπώνια et κηρύκεια ad idem pertinere putat institutum locandorum aut vendendorum vectigalium, viderique in glossa Lexici rhetorici, ubi προκαταβαλλόμενα corrigit, hoc significari, in vectigalium venditione moris fuisse ut publicani, qui redemissent, non tantum ἐγγυητὰς præstarent, sed pretii quoque partem statim solverent in fidem emtionis, quæ si ἡ πέμπτη fuerit, non videri hoc modum excedere.

Ἐπώνυμοι: *Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. διττοί εἰσιν οἱ ἐπώνυμοι, οἱ μὲν ι´ τὸν ἀριθμὸν, ἀφ᾽ ὧν αἱ φυλαὶ, ἕτεροι δὲ β´ καὶ μ´, ἀφ᾽ ὧν αἱ ἡλικίαι προσαγορεύονται τῶν πολιτῶν καθ᾽ ἕκαστον ἔτος, ἀπὸ ιη´ ἐτῶν μέχρι ξ´.*

Ἐποπτευκότων: *Ὑπερείδης ἐν τῷ ὑπὲρ Φρύνης. οἱ μυηθέντες ἐν Ἐλευσῖνι ἐν τῇ δευτέρᾳ μυήσει ἐποπτεύειν λέγονται, ὡς δῆλόν ἐστιν ἔκ τε τοῦ Δημοσθένους λόγου καὶ ἐκ τῆς δεκάτης Φιλοχόρου.*

Ἐρανίζοντες: *Δημοσθένης ἐν τῇ περὶ τῶν Λυκούργου παίδων ἐπιστολῇ ἐρανίσας εἶπεν ἀντὶ τοῦ ἔρανον αἰτήσας· ἐν δὲ τῷ περὶ τοῦ ὀνόματός φησι "τί δὲ εἰ ψευδομαρτυριῶν ἁλώσεσθαι προσδοκῶν ἐφ᾽ " οἷς ἐρανίζει τούτοις τοῖς περὶ αὐτόν;" ἀντευποιεῖ ἀποδιδοὺς τὴν ἴσην βοήθειαν αὐτοῖς, ἣν κἀκεῖνοί ποτε παρέσχον ψευδομαρτυρήσαντες ὑπὲρ αὐτοῦ.* **Ἐρανιστὴς** *μέντοι κυρίως ἐστὶν ὁ τοῦ ἐράνου μετέχων καὶ τὴν φορὰν ἣν ἑκάστου μηνὸς ἔδει καταβάλλειν εἰσφέρων. τὸ δὲ ὄνομα παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Ἀριστοκράτην περὶ ἐγγύης ἐράνου, εἰ γνήσιος.*

Ἔργα νέων: *τοῦτο καὶ Ὑπερείδης ἐν τῷ κατ᾽ Αὐτοκλέους Ἡσι-*

1. Δ.—Τιμοκράτους om. 2. β´ καὶ μ´] δύο. καὶ τοῖς μὲν (sic etiam Phot.: sed Suidas δύο ἐπὶ τοῖς μ´) 4. ἐτῶν] ἔτους 5. Ὑπερείδης—Φρύνης om. 6. λέγονται:— 9. ἘΡΑΝΙ´ΖΟΝΤΕΣ—εἶπεν ἀντὶ] ἐρανίσας Δημοσθένης ἀντὶ 10—14. ἐν δὲ τῷ—ὑπὲρ αὐτοῦ om. 15. εἰσφέρειν (εἰσφέρειν etiam Phot. et Suidas):— 18. τοῦτο—εἶναι om.

1. Δημοσθένης] p. 705, 19. 707, 13.
— διττοί] διττοὶ δέ N.
2. β´ καὶ μ´] δύο καὶ τεσσαράκοντα Ald. δύο καὶ μδ´ B. Sumta autem hæc sunt ex Aristotele in Rep. Athen., cujus verba Harpocratio apposuit s. v. στρατεία ἐν τοῖς ἐπωνύμοις.
4. μέχρι ex Epitome pro μέχρις.
6. Ἐλευσῖνι] ἐλευσίνοις B. ἐλευσινίοις C. ἐλευσιν̈οις G. ἐν om. N.
7. Δημοσθένους] Nisi plura exciderunt, scribendum fortasse κατὰ Δημοσθένους, ut Hyperidis contra Demosthenem oratio intelligatur.
9. Δημοσθένης] p. 1484, 3.
— περὶ additum ex N.
9. τῶν Blancardus. τοῦ libri.
10. ἐν δὲ τῷ (sic Bekkerus: libri τῇ) περὶ τοῦ ὀνόματος] p. 999, 24.
12. τούτοις om. N.
— αὐτόν] ἑαυτόν A. Ald. αὐτῶν B.
13. αὐτοῖς] αὐτοῦ B.C.
— ἣν om. B.C.
15. καταβάλλειν] καταβαλεῖν N.
16. πρὸς] παρὰ A.B.C. Ald.
— Ἀριστοκράτην] ἀριστοκράτη B.
— εἰ γνήσιος om. C.
18. Ἡσιόδου] Si sit Hesiodi, ad Χείρωνος ὑποθήκας referendum judicat Gœttling. ad Fragm. 179.
P. 134, 1. εἶναι. παροιμία τίς ἐστιν, ἣν] εἶναι παροιμίαν, ἣν B.G. εἶναι τὴν παροιμίαν ἣν C.
— καὶ om. A.

ὁδὸν φησὶν εἶναι. παροιμία τίς ἐστιν, ἣν ἀνέγραψε καὶ Ἀριστοφάνης ὁ γραμματικὸς οὕτως ἔχουσαν

ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων.

Ἐργίσκη: Αἰσχίνης κατὰ Κτησιφῶντος. καὶ ἡ Ἐργίσκη τῆς Θρᾴκης ἐστὶν, ὠνόμασται δὲ ἀπὸ Ἐργίσκου τοῦ Ποσειδῶνος καὶ Ἄβας νύμφης.

Ἐργοκλῆς: στρατηγὸς Ἀθηναίων.

Ἐργόφιλος: καὶ οὗτος στρατηγὸς Ἀθηναίων.

Ἕρκειος Ζεύς: Δείναρχος ἐν τῷ κατὰ Μοσχίωνος "εἰ φράτορες "αὐτῷ καὶ βωμοὶ Διὸς ἑρκείου καὶ Ἀπόλλωνος πατρῴου εἰσίν." ἕρκειος Ζεὺς, ᾧ βωμὸς ἐντὸς ἕρκους ἐν τῇ αὐλῇ ἵδρυται· τὸν γὰρ περίβολον ἕρκος ἔλεγον. ὅτι δὲ τούτοις μετῆν τῆς πολιτείας οἷς εἴη Ζεὺς ἕρκειος, δεδήλωκε καὶ Ὑπερείδης ἐν τῷ ὑπὲρ δημοποιήτου, εἰ γνήσιος, καὶ Δημήτριος ἐν τοῖς περὶ τῆς Ἀθήνησι νομοθεσίας.

Ἕρμα: ἡ ὕφαλος πέτρα· Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίου ἔνδειξιν ἀπολογίᾳ. ἔστι δὲ τοὔνομα καὶ παρ' Ἀνακρέοντι καὶ ἐν Γηρυτάδῃ Ἀριστοφάνους.

Ἑρμαῖ: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος καὶ Ὑπερείδης ἐν τῷ

1. ἐστιν—ἔχουσαν] ἐστιν οὕτω προαγομένη (προσαγορευομένη Phot.; totam gl. omisit Suidas) 4.—6. ἘΡΓΙ΄ΣΚΗ. (πόλις addit D.) τῆς Θρᾴκης ἐστίν. ἀπὸ—Ἄβας (ἄμας D.) νύμφης :— 7. 8. ἘΡΓΟΚΛΗ͂Σ καὶ ἘΡΓΟ΄ΦΙΛΟΣ. στρατηγοὶ Ἀθηναίων :— 9. 10. ἝΡΚΕΙΟΣ—εἰσίν om. 11. βωμοὶ—ἵδρυνται 12. ὅτι—τῆς] μετῆν δὲ τῆς 13. ἕρκειος :— 15.—17. ἙΡΜΑ͂Ν ὕφαλος πέτρα. Ἀντιφῶν καὶ Ἀνακρέων καὶ Ἀριστοφάνης :— 18. Αἰσχίνης—δωρεῶν om.

4.—8. om. C.

4. Αἰσχίνης] p. 65, 23.

7. 8. ἘΡΓΟΚΛΗ͂Σ — ἘΡΓΟ΄ΦΙΛΟΣ] Hos memorat Demosth. p. 398, 2.

9. ἝΡΚΕΙΟΣ (ἑρκεῖος Ald. et Suidas.)] ἕρκιος hic et infra et ἑρκίου C.G.

11. βωμὸς—ἵδρυται A.B.C.G. βωμοὶ—ἵδρυνται Ald.

— αὐλῇ ex Epitome pro βουλῇ.

13. Ζεὺς] ὁ ζεὺς B.C.

14. τῆς—νομοθεσίας] τὴν—νομοθεσίαν A. Ald.

— Ἀθήνησι Bekkerus. Libri ἐν Ἀθήνησιν. De quo vitio dixi in annot. ad Epitomen s. v. Δελφίνιον.

15. ἝΡΜΑ ἡ ὕφαλος Blomfield. in Gloss. ad Æsch. Agam. 977. ἕρμα ὕφαλος Valesius. Legebatur ἑρμὰν (ἑρμᾶν C. ἑρμιὰν A. ἑρμὰς Ald.) ὕφαλος, consentiente Epitome. Nam quod Suidæ codex Paris. A. præbet ἑρμᾶ librarii error est.

16. δὲ additum ex A. In B. est καὶ ἔστι.

— Ἀνακρέοντι] Anacreontis verba, ἀσήμων ὑπὲρ ἑρμάτων φορεῦμαι, servavit Hesychius s. v. ἕρμα.

17. Ἀριστοφάνης] Fragm. 219.

18. Αἰσχίνης] p. 80, 5.

— Αἰσχίνης—δωρεῶν om. C.

περὶ τῶν Εὐβούλου δωρεῶν. Μενεκλῆς ἢ Καλλικράτης ἐν τῷ περὶ Ἀθηνῶν γράφει ταυτί "ἀπὸ γὰρ τῆς Ποικίλης καὶ τῆς τοῦ βασι-" λέως στοᾶς εἰσὶν οἱ Ἑρμαῖ καλούμενοι· διὰ γὰρ τὸ πολλοὺς κεῖσθαι "καὶ ὑπὸ ἰδιωτῶν καὶ ἀρχόντων ταύτην τὴν προσηγορίαν εἰληφέναι "συμβέβηκεν. ἐφ' ἑνὸς δὲ αὐτῶν ἐπιγέγραπται γράμμασιν ἀρ-" χαίοις

ἀντ' εὐεργεσίης Ἀγαμέμνονα δῆσαν Ἀχαιοί."

ὅτι δὲ καὶ Ἑρμῶν στοά τις ἐλέγετο δεδήλωκε καὶ Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. ὅτι δὲ ἐκαλοῦντό τινες καὶ Ἱππάρχειοι Ἑρμαῖ ἀπὸ Ἱππάρχου τοῦ Πεισιστράτου εἴρηται ἔν τε τῇ ἀρχαίᾳ κωμῳδίᾳ καὶ παρὰ Πλάτωνι ἐν τῷ Ἱππάρχῳ.

Ἕρμος: δῆμός ἐστι τῆς Ἀττικῆς, φυλῆς Ἀκαμαντίδος, ὥς φησι Διόδωρος ἐν τῷ περὶ τῶν δήμων. Διονύσιος δὲ ὁ τοῦ Τρύφωνος ἐν τῷ περὶ ὀνομάτων φησὶν ὡς ἔοικεν οὐδέτερον εἶναι τὸ τοῦ δήμου ὄνομα τὸ

1. Καλλικράτης] ἀλλικράτης D. Καλλιστράτης Suidas, non Photius. 2. Ἀθηνῶν] Ἀθηναίων 3. οἱ—καλούμενοι] οἱ (αἱ D.)—καλούμεναι 3.—9. διὰ γὰρ—Νικοκλέα om. 9. ὅτι δὲ ἐκαλοῦντο] ἐκαλοῦντο δέ Ἱππάρχειοι] Ἱππάρχιοι 10. Πεισιστράτου :— 12. ἝΡΜΟΣ (ἑρμός E. T.D.) δῆμος ἔστιν τῆς Ἀττικῆς (Ἀττικῆς om. Photius, habet Suidas) Ἀκαμαντίδος. Διονύσιος δὲ οὐδετέρως λέγει τὸ Ἕρμος ὡς ἕρκος :—

1. Καλλικράτης restitui ex Epitome pro Καλλιστράτης, quod Maussacus in Καλλίστρατος mutaverat. V. quæ s. v. Ἑκατόμπεδον diximus.

— ἢ Καλλικράτης om. N.

2. Ἀθηνῶν] Legebatur Ἀθηναίων. Correxi cum Reinesio (ad Suidam s. v. Ἑρμαῖ) in annot. ad schol. Aristoph. Av. 395. vol. 3. p. 182. ubi idem notavi codicum Ravennatis et Veneti vitium.

— ταυτί] ταῦτα A. Terminatione δεικτικῇ utitur Harpocratio s. v. ἀποστασίου, ἑβδομευομένου, θόλος, παρεῖαι ὄφεις, σηκός, συμμορία, τετρυπημένη.

3. τὸ πολλοὺς] τὰ πολλὰ B.C.

4. ἰδιωτῶν—ἀρχόντων] τῶν ἰδιωτῶν —τῶν ἀρχόντων N.

— εἰληφέναι post ταύτην Ald.

5. συμβέβηκεν :— C.

7. ἀντ' εὐεργεσίης—Ἀχαιοί] Est versus Mæsonis, histrionis et poetæ, qui in proverbium cessit: vid. Zenob. Proverb. 2, 11. et Nauck. de Aristoph. Byz. p. 277.

8. ὅτι δὲ καὶ] καὶ om. B.

— Ἑρμῶν Sluiter. Lect. Andocid. p. 36. Legebatur Θρᾳκῶν. Ἑρμῶν στοάν memorant Xenophon Hipparch. 3, 2. et Æschines p. 80, 5.

10. εἴρηται—Ἱππάρχῳ] δηλοῖ μὲν ἡ ἀρχαία κωμῳδία, δηλοῖ δὲ καὶ πλάτων N.

11. Πλάτωνι ἐν τῷ Ἱππάρχῳ] p. 228 d.

12. ἝΡΜΟΣ] Hanc glossam duasque proximas om. C.

— ἝΡΜΟΣ δῆμος τῆς ἀκαμαντίδος φυλῆς, περὶ οὗ φησὶ διονύσιος ὁ τοῦ τρύφωνος ἐν τῷ περὶ ὀνομάτων ὅτι ὡς ἔοικεν οὐδέτερόν ἐστι τὸ τοῦ δήμου etc. N.

— φυλῆς om. A.B.

13. τῶν addidi ex A.B.

Ἕρμος, ὡς τὸ ἕρκος. Ζώπυρος δὲ ἐν τοῖς περὶ ποταμῶν Ἕρμον φησὶν εἶναι ἐν τῇ Ἀττικῇ καὶ δῆμον ὁμώνυμον αὐτῷ.

Ἑρμῆς ὁ πρὸς τῆι πυλίδι: Δημοσθένης ἐν τῷ κατ' Εὐέργου καὶ Μνησιβούλου. Φιλόχορος ἐν ε' Ἀτθίδος φησὶν ὡς οἱ ἐννέα ἄρχοντες ταῖς φυλαῖς ἀνέθεσαν Ἑρμῆν παρὰ τὸν πυλῶνα τὸν Ἀττικόν.

Ἑρμίας: ὄνομα κύριον, ὁ εὐνοῦχος ὁ τρίπρατος. οἰκείως δὲ διέκειτο πρὸς Ἀριστοτέλην, καὶ τὴν θετὴν αὐτοῦ θυγατέρα ἔδωκε τῷ φιλοσόφῳ.

Ἑροιάδαι: οἱ Ἑροιάδαι δῆμός ἐστι τῆς Ἱπποθωντίδος, ὥς φησι Διόδωρος.

Ἐρυθραῖοι: Δημοσθένης ἐν Φιλιππικῷ η'. πόλις ἐν Ἰωνίᾳ Ἐρυθρὰ, μία τῶν ὑπὸ Νηλέως τοῦ Κόδρου κτισθεισῶν, ὥς φησιν Ἑλλάνικος ἐν Ἀτθίδι.

3. 'Ο ΠΡΟ'Σ] ὡς πρὸς E.T. ὅς (sic) D. Δ.—Μνησιβούλου om. 4. Φιλόχορος λέγει ὡς οἱ 5. πυλῶνα:— 6. 'ΕΡΜΕΙ'ΑΣ 7. ἀριστοτέλη D. τὴν om. D. 8. φιλοσόφῳ:— Epitomes glossam habet Photius, cum ampliore de Hermia narratione conjunxit Suidas. 9. 'Ι.] 'Ι. φυλῆς:— 11.—13. 'ΕΡΥΘΡΑΙ'ΟΙ. οἱ ἀπὸ πόλεως τῆς ἐν Ἰωνίᾳ Ἐρυθρὰ (ἐρυθραὶ Suidæ codex optimus; alii ἐρυθρᾶς cum Photio et Zonara p. 861.) καλουμένης:—

1. τὸ ἕρκος] τὸ om. N.

— τοῖς] τῷ N.

— περὶ ποταμῶν] καὶ ποταμὸν addit N. Quo non opus, quum id facile intelligatur ex verbis περὶ ποταμῶν.

Θυμαιτάδαι: δῆμος τῆς Ἱπποθωντίδος, ἀπὸ Θυμαίτου ἥρωος ὀνομασθείς, ὥς φησι Διόδωρος.

Θυργωνίδαι: Ἰσαῖος ἐν τῷ πρὸς Νικοκλέα. Νίκανδρος ὁ Θυατειρηνὸς ἐν τῷ περὶ τῶν δήμων "μετετέθησάν" φησιν "ἐξ Αἰαντίδος "Ἀφιδναῖοι, Περρίδαι, Τιτακίδαι, Θυργωνίδαι." φησὶ δὲ καὶ Δημήτριος ὁ Σκήψιος ἐν β΄ Διακόσμου τῆς Πτολεμαΐδος φυλῆς τὸν δῆμον εἶναι.

1. ΘΡΙΠΗΔΕΣΤΟ'Ν (*θριπιδεστόν* E.T. *θριπηδέστατον* D. *θριπήδεστον* Suidas). *Ὑπερίδης τὴν Ἑλλάδα* 2. *θριπῶν*] *θρηπῶν* E.T. 4. *Θ. πόλις ἐστὶ τῆς Λ.*:— 6. ΘΥΜΑΙΤΑ'ΔΑΙ (*θυμοιτίδαι* Suidæ liber optimus) *δῆμος Ἱπποθοωντίδος* (*ὑπὸ θωοντίδος* E.T. *ὑποθοωντίδος* D.) *Θυμαίτου*] *θυμοίτου* (*θυμήτου* in *θυμίτου* mutatum in Phot. codice) *ἥρωος*] *τοῦ ἥρωος*:— 8. ΘΥΡΓΩΝΙ'ΔΑΙ. *Πτολεμαΐδος φυλῆς δῆμος* (*δῆμος* ante *Πτ.* Phot. et Suidas):—

1. ΘΡΙΠΗ'ΔΕΣΤΟΝ] *θριπηδέστατον* B.C. Ald. utrobique, qui constans fere librariorum error est, ortus ex terminatione superlativo simili. *θριπήδεστον* autem Græciam Hyperides haud dubie dixit a proditoribus pessumdatam, ut monet Sauppius Fragm. p. 289.

2. *εἶπεν* additum ex Epitome.

— *θριπῶν*] *τῶν θριπῶν* B. *θρίππων* A.

— *κατεδηδεσμένων* N. et Epitome. *κατεδηδομένων* B. C. Ald. *κατεδηδομένη* A.

4. *Αἰσχίνης*] p. 45, 33.

— *παραπρεσβείας*] *παρὰ τῆς πρεσβείας* A. *περὶ τῆς παραπρεσβείας* Ald., ut solet.

5. *Θρόνιον*] *τὸ θρόνιον* A.

— *ἐν τῇ*] *φησὶν* C.G. Post *τῇ* excidit libri numerus.

6. ΘΥΜΑΙΤΑ'ΔΑΙ] In inscriptionibus non solum hæc forma reperitur, quæ antiquior est, sed etiam *Θυμοιτάδαι*: v. Boeckh. Corp. Inscr. vol. I. p. 226. et Rossium in libro de demis p. 120. 121.

6. *τῆς* additum ex B.N.

— *Θυμαίτου* B. C. Ceteri *θυμοίτου*.

— *ἥρωος*] *τοῦ ἥρωος* A. Ald.

8. *Θυατειρηνὸς* Maussacus. Libri *θυαστερινός*.

9. *μετετέθησαν ἐξ Αἰαντίδος*] In Leontidem, ut videtur, cui adscribuntur ab Stephano Byz. Postmodum Hadrianidis fuerunt: vid. Boeckh. Corp. Inscr. vol. I. p. 309. et Meier. ap. Rossium de demis p. 114.

9. *Αἰαντίδος*] *αἰσαντίδος* A.B.Ald.

10. *Ἀφιδναῖοι*] *ἀφνιδαῖοι* A. Ald.

— *Περρίδαι*] Legebatur *Περσίδαι*. Rectam nominis formam servarunt Steph. Byz. et Hesychius, nisi quod fortasse cum diphthongo scribendum *Περρεῖδαι*, de quo dixit Sauppius in Comment. de demis urbanis Athen. p. 9.

— *καὶ* om. B.

Θύστιον: *Αἰσχίνης κατὰ Κτησιφῶντος. πόλις ἐστὶ τῆς Αἰτωλίας, καθά φησι Δίδυμος ἐπαγόμενος μαρτύριον ἐκ τῆς α´ Νικάνδρου τῶν Αἰτωλικῶν. ἡμεῖς μέντοι ἐν τοῖς Ἀττικιανοῖς διὰ τοῦ τ Θύτιον εὕρομεν γεγραμμένον.*

Ι.

Ἰδίαν: *ἀντὶ τοῦ ἰδιωτικήν Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. ἐλέγετο δὲ τὸ ἴδιον καὶ ἰδιωτικὸν, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῷ πρὸς Ζηνόθεμιν.*

Ἰδριεύς: *Ἰσοκράτης Φιλίππῳ. δυνάστης ἦν οὗτος ἐν Καρίᾳ, υἱὸς Ἑκατόμνω, ἀδελφὸς δὲ Μαυσώλου καὶ Ἀρτεμισίας.*

Ἱέραξ: *Δημοσθένης ἐν α´ Φιλιππικῶν. ὅτι ὁ Ἱέραξ εἷς ἦν τῶν ὑπ' Ἀμφιπολιτῶν πεμφθέντων πρέσβεων Ἀθήναζε, βουλομένων αὐτῶν Ἀθηναίοις παραδοῦναι καὶ τὴν πόλιν καὶ τὴν χώραν, εἴρηκε Θεόπομπος ἐν γ´ Φιλιππικῶν.*

Ἱερὰ ὁδός: *Ἰσαῖος ἐν τῇ πρὸς Διοφάνην ἀπολογίᾳ. Ἱερὰ ὁδός ἐστιν ἣν οἱ μύσται πορεύονται ἀπὸ τοῦ ἄστεος ἐπ' Ἐλευσῖνα.*

1. ΘΥ'ΣΤΙΟΝ. *πόλις τῆς Αἰτωλίας. Θύτιον δέ τινες* (*τινὲς δὲ Θύτιον* Phot. *τινὲς Θύτιον* Suidas) *ἄνευ τοῦ σ.*:— 6. *Κόνωνος. καὶ ἴδιον τὸ ἰδιωτικόν*:— 9. Ἰ. Φ. om. 10. *Μαυσώλου*] *Μαυσωλοῦ* (sic etiam Phot., non Suidas) 11. Δ.—*ὅτι ὁ Ἱέραξ* om. 12. *ὑπ'* om. 13. *καὶ* post *παραδοῦναι* om. (cum Suida; habet Phot.) *χώραν*:— 15. *Ἰσαῖος—ἐστιν* om. 16. *τοῦ* om. D. solus. *ἄστεως* (*ἄστεος* Phot. et Suidas) *ἐπ' Ἐλευσῖνα*:—

1. *Αἰσχίνης*] p. 70 extr.

2. *ἐπαγόμενος* Bekkerus pro *ἐναγόμενος.*

3. *ἀττικιανοῖς* P. Q. apud Dobræum ad Phot. p. 740. et, ut videtur, A., quemadmodum correxerat Hemsterh. *ἀττικισμοῖς* B. correctus, C. et Ald.

6. *Δημοσθένης* (*διογένης* B. C.)] p. 1256, 14. *ἰδίαν ἔλαχον δίκην.*

7. *ὁ αὐτὸς ῥήτωρ*] p. 891, 2. ubi nunc legitur *μηδὲ πρὸς ἓν πρᾶγμα ἴδιον προσεληλυθέναι.* Invertit rem Epitome, in qua est *καὶ ἴδιον τὸ ἰδιωτικόν*, contra mentem Harpocrationis, qui in priore loco Demosthenis *ἰδίαν* per *ἰδιωτικὴν* interpretatus non poterat eandem interpretationem alteri adhibere loco, quem ut diversum opponit priori.

7. *Ζηνόθεμιν* Valesius. Legebatur *Ζηνόβιον.*

9. *Ἰσοκράτης*] p. 102 e.

— *Φιλίππῳ* Bekkerus. Libri *Φιλιππικῷ.*

10. *Ἑκατόμνω*] Scribebatur *Ἑκατόμνου.* De quo dixi s. v. *Ἑκατόμνως.*

— *Μαυσώλου*] *Μαυσωλοῦ* Epitome accentu in codicibus non infrequenti, de quo dixit L. Dindorfius in Thesauro vol. 3. p. 620. Proparoxytonum probat Eustath. ad Homer. p. 311, 18.

11. *Δημοσθένης*] p. 11, 11.

— *Φιλιππικῶν*] *φιλιππικῷ* C.

βιβλίον οὖν ὅλον Πολέμωνι γέγραπται περὶ τῆς Ἱερᾶς ὁδοῦ. μνημονεύει δ' αὐτῆς Κρατῖνος ἐν Δραπέτισιν.

Ἱερὰ τριήρης: Δημοσθένης ἐν δ' Φιλιππικῶν "καὶ τὴν ἱερὰν "ἀπὸ τῆς χώρας ᾤχετο ἔχων τριήρη." λέγοι ἂν τὴν Πάραλον, ὡς συνιδεῖν ἔστιν ἔκ τε τῆς Φιλοχόρου καὶ ἐκ τῆς Ἀνδροτίωνος ὁμοίως ς'.

Ἱερομηνία: Δημοσθένης κατὰ Τιμοκράτους. αἱ ἑορτώδεις ἡμέραι ἱερομηνίαι καλοῦνται.

Ἱερομνήμονες: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. οἱ πεμπόμενοι εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον ἐξ ἑκάστης πόλεως τῶν τοῦ συνεδρίου μετεχουσῶν οὕτω καλοῦνται, ὡς σαφὲς ποιεῖ Θεόπομπος ἐν τῇ λ'.

Ἱεροφάντης: Ὑπερείδης φησί που "ἐγὼ δὲ οὔτε δᾳδούχου θυ"γατέρα ἔχω οὔτε ἱεροφάντου." Δείναρχος ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ ὠνομάσθαι φησὶ τὸν πρῶτον ἱεροφάντην τὸν ἀποφήναντα ἐκ τοῦ πολέμου ἐπανιόντα τὰ ἱερά. περὶ δὲ τοῦ γένους τῶν ἱεροφαντῶν δεδήλωκεν Ἑλλάνικος ἐν β' Ἀτθίδος.

Ἱερώνυμος: Λυσίας ἐν τῷ πρὸς Ἱπποθέρσην. Ἱερωνύμου τοῦ στρατηγήσαντος Ἀθηναίων ἄλλοι τε μνημονεύουσι καὶ Ἔφορος ἔν τε τῇ ιη' καὶ ἐν τῇ ιθ'. ἕτερος δ' ἐστὶν Ἱερώνυμος Μεγαλοπολίτης, οὗ μνημονεύει Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. ὅτι δ' οὗτος ἦν τῶν μακεδονιζόντων μάλιστα καὶ Θεόπομπος εἴρηκεν ἐν τῇ να'.

3. ἹΕΡᾺ ΤΡΙΉΡΗΣ. λέγοιτ' ἂν ἡ πάραλος :— 6. ἹΕΡΟΜΗΝΊΑΙ Suidas, non Photius. Δ. κατὰ Τ. post καλοῦνται. 9. Δ. ὑπὲρ Κτ. om. 10. καλοῦνται :— καλοῦνται om. Phot., qui alia addidit aliunde sumta. 12. ἹΕΡΟΦΆΝΤΗΣ. οὕτως ὠνομασθαι φησὶ (aut φασὶ, ut apud Suidam legitur, scribere debebat—quemadmodum s. v. ἱππία Ἀθηνᾶ pro Ἰσαῖός φησι posuit φασί—aut Dinarchi nomen addere) τὸν πρῶτον ἱεροφάντην 15. ἀπιόντα (sic) τὰ ἱερά :— 17. ἹΕΡΏΝΥΜΟΣ. στρατηγὸς Ἀθηναίων. ἕτερος δέ ἐστιν—Αἰσχίνου :— Habet gl. Photius, non habet Suidas.

1. βιβλίον] βυβλίον B. hic et alibi. De via sacra Eleusinia commentationem scripsit L. Prellerus Dorpati editam a. 1841.

2. ἐν Δραπέτισιν] ἀνδραπέτισιν A. ἐν δραπέταις B.C.G.

3. Δημοσθένης] p. 50, 2.

5. καὶ ἐκ] ἔκ τε C.

6. ἹΕΡΟΜΗΝΊΑ ἡ ἑορτώδης ἡμέρα N.

— Δημοσθένης] p. 709, 16. 715, 22.

8. Δημοσθένης] p. 276, 22. 277, 7. 21.

12. δᾳδούχου θυγατέρα] διαδόχου θυγατέραν B.

14. ὠνομάσθαι] ὠνομάσθη A.

15. ἐπανιόντα Valesius. Legebatur ἐπιόντα, pro quo ἀπιόντα in Epitome. ἀνιόντα Hemsterh.

18. ἔν τε τῇ ιη' καὶ ἐν τῇ ιθ' (rursus ιη' A.)] ἐν τῇ ιη' καὶ ιθ' B.

20. Δημοσθένης] p. 324, 9. 344, 14.

ʼΙθύφαλλοι: Ὑπερείδης ἐν τῷ κατ' Ἀρχεστρατίδου "οἱ τοὺς ἰθυ-"φάλλους ἐν τῇ ὀρχήστρᾳ ὀρχούμενοι." ποιήματά τινα οὕτως ἐλέγετο τὰ ἐπὶ τῷ φαλλῷ ᾀδόμενα, ὡς Λυγκεὺς ἐν ταῖς ἐπιστολαῖς φησίν· Δημοσθένης δὲ ἐν τῷ κατὰ Κόνωνος ἐπὶ ἐπωνύμου τεθειμένου τισὶ κατὰ παιδιὰν ἔταξεν αὐτό. ἐλέγετο δὲ κυρίως ἰθύφαλλος τὸ ἐντεταμένον αἰδοῖον, ὡς Κρατῖνος ἐν Ἀρχιλόχοις.

Ἰκαριεύς: Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου. δῆμός ἐστι φυλῆς τῆς Αἰγηΐδος, ὥς φησι Διόδωρος.

Ἱκετηρία: Αἰσχίνης ἐν τῇ ἀπολογίᾳ. ἱκετηρία καλεῖται ἐλαίας κλάδος στέμματι ἐστεμμένος.

Ἰόνιος: Λυσίας ἐν Ὀλυμπιακῷ. τὸν Ἀδρίαν καλούμενον οὕτως ὠνόμαζον ἐνίοτε οἱ παλαιοί. "Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέ-"οντι τὸν Ἰόνιον κόλπον" Θουκυδίδης α'.

Ἰπνός: Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος α'. μέρος τι τῆς οἰκίας οὕτω καλεῖται, τὸ λεγόμενον παρ' ἡμῖν μαγειρεῖον· ἔστι γοῦν δρᾶμα Φερεκράτους Ἰπνὸς ἢ Παννυχίς, ἐν ᾧ δηλοῦται τοῦτο, ὅτι μέρος ἐστὶ τῆς οἰκίας. λέγεται δὲ κυρίως ἰπνὸς ἡ κάμινος, ὅθεν καὶ ἰπνοπλάθους τινὰς ὀνομάζουσιν.

Ἵππαρχος: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. τύραννος ἦν

1. ʼΙΘΥ'ΦΑΛΛΟΙ. *οἱ τοὺς—ποιήματα δέ τινα οὕτω λέγεται—ᾀδόμενα. ἐλέγετο δὲ κυρίως—αἰδοῖον* :— Habet gl. Photius, omittit Suidas alia substituta. 7. ʼΙΚΑΡΙΕΥ'Σ. *δῆμος φυλῆς τῆς Αἰγηΐδος* :— (*καὶ Ἰκάριοι οἱ αὐτοί* addit Phot.) 11. ʼΙΟ'ΝΙΟΣ. *τὸν Ἀ. οὕτως—παλαιοί* :— Apud Photium et Suidam alia gl. *Ἰόνιον πέλαγος: ὁ νῦν Ἀδρίας. καὶ Ἰόνιος κόλπος. τὸν γὰρ Ἀδρίαν οὕτως ὠνόμαζον.* 14. ʼΙΠΝΟΣ. *μέρος τι τῆς οἰκίας, τὸ λεγόμενον παρ' ἡμῶν μ. λέγεται δὲ κ. ἶπνος ἡ κάμινος* :— Recto accentu *ἰπνός* apud Suidam. 19. ʼΙΠΠΑΡΧΟΣ. *τύραννος Ἐρετρίας. ἕτερος δὲ Ἵππαρχος ὁ Πεισιστράτου. ἄλλος δὲ Ἵππαρχος ὁ Χάρμου, ὃς συγγενὴς ἦν Πεισι-*

1. Ἀρχεστρατίδου] *ἀρχιστρατίδου* B.C.
3. *τὰ* om. Ald., *ταῖς* om. C.
4. Δημοσθένης] p. 1261, 17. 1262, 6. 1263, 5.
7. *φυλῆς* om. B.C.
9. Αἰσχίνης] p. 30, 11.
10. *στέμματι*] *ἐρίῳ* addit B.
11. Ὀλυμπιακῷ] *ὀλυμπικῷ* A.
12. *καλούμενον*] *καλοῦμεν* A.
— *ἐν δεξιᾷ εἰσπλέοντι* B.C.G. *ἐς δεξιὰ ἐσπλέοντι* ceteri.
13. *α'*] *ἐν α'* B. *ἐν πρώτῃ* Ald. Est c. 24.
14. ʼΙΠΝΟ'Σ] *ἶπνος* A. hic et infra.
16. Φερεκράτους] *φερεκράτει* A.C. Ald.
17. *ἐστὶ* post *οἰκίας* A. Ald.
— *δὲ* om. B.
— *κ. ἰπνὸς*] *ἰπνὸς κ.* B.C.
— *καὶ* om. C.
18. *ἰπνοπλάθους*] *ἰπνοπλάστας* B. C.G.
19. Δημοσθένης] p. 324, 16.
— *ὑπὲρ* Maussacus. Legebatur *κατά*.

οὗτος Ἐρετρίας. ἕτερος δ' ἐστὶν Ἵππαρχος περὶ οὗ Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονός φησιν, Ἵππαρχος ὁ Πεισιστράτου. ἄλλος δέ ἐστιν Ἵππαρχος ὁ Χάρμου, ὥς φησι Λυκοῦργος ἐν τῷ κατὰ Λεωκράτους· περὶ δὲ τούτου Ἀνδροτίων ἐν τῇ β' φησὶν ὅτι συγγενὴς μὲν ἦν Πεισιστράτου τοῦ τυράννου καὶ πρῶτος ἐξωστρακίσθη τοῦ περὶ τὸν ὀστρακισμὸν νόμου τότε πρῶτον τεθέντος διὰ τὴν ὑποψίαν τῶν περὶ Πεισίστρατον, ὅτι δημαγωγὸς ὢν καὶ στρατηγὸς ἐτυράννησεν. ἄλλος δ' ἐστὶν Ἵππαρχος ὑποκριτής, οὗ μνημονεύει Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας, εἰ γνήσιος. λέγεται δὲ παρ' Ἀθηναίοις ἵππαρχος καὶ ὁ τῶν ἱππέων ἄρχων· δύο δ' ἦσαν οὗτοι, ὡς Δημοσθένης ἐν δ' Φιλιππικῶν φησὶ καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Ἱππάς: Ἰσαῖος ἐν τῷ περὶ τοῦ Ἀπολλοδώρου κλήρου "ἀπεγράψατο μὲν τίμημα μικρὸν ὡς ἱππάδα τελῶν." Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ φησὶν ὅτι Σόλων εἰς τέτταρα διεῖλε τέλη τὸ πᾶν πλῆθος Ἀθηναίων, πεντακοσιομεδίμνους καὶ ἱππέας καὶ ζευγίτας καὶ θῆτας. τῶν οὖν ἱππέων αἱ ἱππάδες.

Ἱππία Ἀθηνᾶ: Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα. Μνασέας ἐν α' Εὐρώπης τὴν ἱππίαν Ἀθηνᾶν Ποσειδῶνος εἶναί φησι θυγατέρα καὶ

στράτου τοῦ τυράννου, καὶ πρῶτος ὑπέστη τὸν ἐξοστρακισμὸν (ἐξωστρακισμὸν E.T.) διὰ τὴν ὑποψίαν τὴν (τοῦ D. et Suidas, non Photius) Πεισιστράτου, ὅτι δ.

8. Δημοσθένης. λέγεται δὲ ἵππαρχος παρ' Ἀ. καὶ ὁ—οὗτοι :— 12. ἹΠΠΑ'Σ. Ἀριστοτέλης ἐν 14. εἰς τέσσαρα διεῖλεν τέλη τὸ πλῆθος τῶν Ἀθηναίων, εἰς π., εἰς ἱππέας, ζ. καὶ θῆτας. τῶν οὖν ἱππέων οἱ (αἱ D.) ἱππάδες :— Habet gl. Photius, aliam substituit Suidas. 17. ἹΠΠΙ'Α (ἱππεία Suidas et mox ἱππείαν) ἈΘΗΝΑ'. ταύτην Ποσειδόνος (sic etiam Phot.) εἶναί φασι (ποσειδῶνος φασιν εἶναι D.) θυγατέρα

1. Λυκοῦργος] p. 164, 26. Vel Harpocratio vel Didymus, ex cujus commentariis Lycurgeis plurima quæ ad Lycurgum pertinent, ab Harpocratione excerpta esse conjicio, Hipparchum Timarchi, in Leocratea commemoratum, capitis illum damnatum, et Hipparchum Charmi filium, Pisistrati affinem, ostracismo patria pulsum, homines prorsus diversos, confudit. De Charmi filio conf. Plut. V. Niciæ c. 11. et Meier. in Indice lect. Halens. 1835-36. p. VI. SAUPP. Fragm. p. 268. Meierus de hoc loco iterum dixit in vita Lycurgi p. lxxvi.

8. Δημοσθένης] p. 1353, 15. 1354, 6.

10. Δημοσθένης] p. 47.

— δ'] δη G. δευτέρᾳ Ald.

12. Ἰσαῖος] p. 67, 23.

14. Σ. εἰς τέτταρα] εἰς δ' ὁ σ. N.

— τέτταρα A.B.C. τέσσαρα Epitome. δύο Ald.

— τέλη om. A. et pr. B.

15. καὶ ante ζ. om. A.B. Ald. et Epitome.

— ζευγίτας] ζευγήτας A.C. Ald.

16. τῶν οὖν—ἱππάδες addidi ex Epitome.

17. ἹΠΠΙ'Α] ἱππασία A.

18. Εὐρώπης om. B.C.

— ἱππίαν] ἱππείαν A. "Ara

Κορύφης τῆς Ὠκεανοῦ, ἅρμα δὲ πρώτην κατασκευάσασαν διὰ τοῦτο ἱππίαν κεκλῆσθαι.

Ἱπποδάμεια: Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον ἀγοράν φησιν εἶναι ἐν Πειραιεῖ καλουμένην Ἱπποδάμειαν ἀπὸ Ἱπποδάμου Μιλησίου ἀρχιτέκτονος τοῦ οἰκοδομησαμένου τοῖς Ἀθηναίοις τὸν Πειραιᾶ.

Ἴσα βαίνων Πυθοκλεῖ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου ἀντὶ τοῦ συνὼν ἀεὶ καὶ μηδὲ βραχὺ ἀφιστάμενος. καὶ ἐν τῷ κατὰ Στεφάνου α' φησὶν "Ἀριστολόχῳ τῷ τραπεζίτῃ ἴσα βαίνων ἐβάδιζε." Μένανδρος

παρ' αὐτὸν ἴσα βαίνουσ' ἑταίρα πολυτελής.

Ἴσαι ψῆφοι: Αἰσχίνης κατὰ Κτησιφῶντος "ἕτερος δὲ πλεύσας "ἰδιώτης εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρώην μέν ποτε "εἰσηγγέλθη καὶ ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο, εἰ δὲ μία ψῆφος ὑπερ-"έπεσεν, ὑπερώριστο ἂν καὶ ἀπέθανεν."

Ἰσαῖος: εἷς μέν ἐστι τῶν δέκα ῥητόρων οὗτος, μαθητὴς δὲ Ἰσοκράτους, διδάσκαλος δὲ Δημοσθένους, Ἀθηναῖος τὸ γένος, καθά φησιν Ἕρμιππος ἐν β' περὶ τῶν Ἰσοκράτους μαθητῶν. Δημήτριος δ' ἐν τοῖς περὶ ὁμωνύμων ποιητῶν Χαλκιδέα φησὶν αὐτὸν εἶναι.

1. Κορύφης] Πολύφης 2. κληθῆναι:— 3. ἹΠΠΟΔΑ'ΜΕΙΑ. ἀγορὰ ἐν Πειραεῖ οὕτω καλουμένη ἀπὸ—Μηλισίου (sic etiam Phot.) 7. καὶ μὴ βραχὺ ἀφιστάμενος. καὶ Μένανδρος—ἑτέρα (ἑταίρα Phot. et Suidas) πολυτελής:— 13. ἐγένοντο] ἐγίνοντο Suidæ codex A. 15. οὗτος om. 16. τὸ om. 17. Δημήτριος δὲ Χαλκιδέα φησὶν αὐτὸν (αὐτόν φησιν D.) εἶναι:—

"Athenæ equestris non ita longe "abfuit ab Anthemocriti monu-"mento: conf. Pausan. 1, 3(., 4. "Videtur igitur mentio aræ illius "apud Isæum ad agri vel domus "situm describendum pertinuisse." SAUPP. Fragm. p. 237.

1. Κορύφης Meursius Lect. Att. 5, 20. ex Etym. M. p. 474, 33. ubi Κορυφῆς. Conf. Cicer. De N. D. 3, 23. Libri Πολύφης, nisi quod νύμφης N. λύφης margo N.

— Ὠκεανοῦ:— B.C.

— τοῦτο] τούτου A.

3. Δημοσθένης] p. 1190, 27.

4. εἶναι ante ἀγοράν A.

— καλουμένην] καλουμένῳ C.

5. ἀρχ. τοῦ] τοῦ ἀρχ. τοῦ B.C.

6. Δημοσθένης] p. 442, 15.

6. Δ.—Αἰσχίνου infra post ἀφιστάμενος C.

7. κατὰ Στεφάνου] p. 1120, 21.

10. αὐτὸν] αὐτῶν B.C.

— πολυτελής] πολυετής B.C.G.

11. Αἰσχίνης] p. 89, 35.

13. αἱ om. A.

— ὑπερέπεσεν] ὑπηρέτησεν B. (sed margo ὑπερέπεσεν). ὑπερέβαινεν C. Apud Æschinem μετέπεσεν.

15. μέν additum ex Epitome.

— δὲ Epitome. δ' ἦν A. Ald. ἦν B.C.

— Ἰσοκράτους—β' περὶ om. B.C.

17. Ἕρμιππος] εὔριπος A. Ald.

— μαθητῶν Valesius. Libri μαθημάτων.

18. Χαλκιδέα] Potuit fieri ut Chalcide natus, neque minus ta-

Ἰσμηνίας: Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, εἰ γνήσιος. εἷς τῶν παρὰ Θηβαίοις ἦν πολέμαρχος ἐπιφανής.

Ἰσοδαίτης: Ὑπερείδης ἐν τῷ ὑπὲρ Φρύνης. ξενικός τις δαίμων, ᾧ τὰ δημώδη γύναια καὶ μὴ πάνυ σπουδαῖα ἐτέλει.

Ἰσοτελὴς καὶ ἰσοτέλεια: Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου πολλάκις. τιμή τις διδομένη τοῖς ἀξίοις φανεῖσι τῶν μετοίκων, καθ' ἣν καὶ τοῦ μετοικίου ἄφεσις αὐτοῖς ἐγίγνετο, ὡς Λυσίας ἐν τῷ πρὸς Σώστρατον ὕβρεως, εἰ γνήσιος. ὅτι δὲ καὶ τῶν ἄλλων ὧν ἔπραττον οἱ μέτοικοι ἄφεσιν εἶχον οἱ ἰσοτελεῖς Θεόφραστος εἴρηκεν ἐν ιά τῶν Νόμων· οὗτος δέ φησιν ὡς ἐνιαχοῦ καὶ πόλεσιν ὅλαις ἐψηφίζοντο τὴν ἰσοτέλειαν Ἀθηναῖοι, ὥσπερ Ὀλυνθίοις τε καὶ Θηβαίοις. ἔστι δὲ μαθεῖν ἐκ τοῦ προγεγραμμένου Ἰσαίου λόγου καὶ ὅσα ἐτέλει ὁ ἰσοτελής.

Ἴσχανδρος: Δημοσθένης κατ' Αἰσχίνου. τραγικὸς ὑποκριτὴς ὁ Ἴσχανδρός ἐστι. δοκεῖ δ' αὐτῷ συνυποκρινόμενος Αἰσχίνης ὁ ῥήτωρ

1. Λυσίας—γνήσιος om. εἰς παρ' Ἀθηναίοις 3. Ὑ.—Φρύνης om. 5. ἸΣΟΤΈΛΕΙΑΙ (ἰσοτέλεια Suidas, non Phot.). πολλάκις τιμή τις ἐδίδοτο 6. καθ' ἣν τοῦ 7. ὡς Λυσίας—γνήσιος om. 9. οἱ ante ἰσοτελεῖς om. Phot. et Suidas. Θεόφραστος λέγει. καὶ πόλεσι δὲ ὅλαις ἐ. τὴν ἀτέλειαν 11. τε om. Θηβαίοις. ὁ δὲ ἰσοτελὴς ὡρισμένον τι τέλος ἐδίδου :— 14. Δ.—Αἰσχίνου om. ὑποκριτής :—

men ingenuus esset civis Atticus, siquidem Chalcidensis agri aliquam partem usque ad olymp. 92, 2. tenuisse videntur Attici cleruchi, eorum posteri, qui paucis ante bellum Persicum primum annis Chalcidem missi erant. Cleruchos enim patriæ civitatem retinuisse et modo ab hac modo ab illa in quam missa erant appellatos esse satis constat. SCHOEM. Præfat. ad Isæum p. V.

P. 162, 18. φησὶν post εἶναι C.

P. 163, 1. εἰ γνήσιος om. Ald.

— 2. παρὰ Θηβαίοις Valesius. Legebatur παρ' Ἀθηναίοις.

3. ἸΣΟΔΑΊΤΗΣ] ἰσοδέτης A. Conf. Lobeck. Aglaoph. p. 622. θιασώτας Ἰσοδαίτου δημότου C. Keilius (Anal. epigr. p. 142.) reperisse sibi videtur in titulo quodam Attico. Non video cur a Sabazio vel Zagreo Lobeckius hunc dæmonem differre voluerit. SAUPP. Fragm. p. 302.

7. τοῦ] ἢ τοῦ Ald.

8. ὕβρεως om. C.

9. ἐν ιά] ἐν ἑνδεκάτῃ Ald. ἐν τῇ ιά C. ἐν τῇ α' pr. B.

11. ἰσοτέλειαν Bekkerus. Libri ἀτέλειαν. Conf. Meier. in dissert. de proxenia p. 20.

— Ἀθηναῖοι] οἱ ἀθηναῖοι A.B.

— Ὀλυνθίοις τε καὶ Θηβαίοις] Olynthiis qui post Olynthi (olymp. 108, 1), Thebanis qui post Thebarum excidium (olymp. 111, 2.) servati suut, ut conjicit Meierus in Vita Lycurgi p. xli.

— Θηβαίοις] ἀθηναίοις A.B. Ald.

— ἔστι—ἐκ] ἔτι—κὰκ C.

12. προγεγραμμένου] προσγεγραμμένου A. Ald.

14. Δημοσθένης] p. 344, 7.

— ὑποκριτὴς] ποιητὴς C.

ἐν Κολλυτῷ καταπεσεῖν, καθά φησι Δημοχάρης ἐν τοῖς Διαλόγοις.

Ἰτεαῖος: Λυσίας ἐν τῷ κατὰ Νικίδου. δῆμός ἐστι τῆς Ἀκαμαντίδος Ἰτέα, ἀφ᾽ ἧς ὁ δημότης Ἰτεαῖος, ὥς φησι Διόδωρος.

Ἴων: Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. Ἴωνος τοῦ τῆς τραγῳδίας ποιητοῦ μνημονεύοι ἂν νῦν ὁ ῥήτωρ, ὃς ἦν Χῖος μὲν γένος, υἱὸς δὲ Ὀρθομένους, ἐπίκλησιν δὲ Ξούθου. ἔγραψε δὲ μέλη πολλὰ καὶ τραγῳδίας καὶ φιλόσοφόν τι σύγγραμμα τὸν Τριαγμὸν ἐπιγραφόμενον, ὅπερ Καλλίμαχος ἀντιλέγεσθαί φησιν ὡς Ἐπιγένους· ἐν ἐνίοις δὲ καὶ πληθυντικῶς ἐπιγράφεται Τριαγμοί, καθὰ Δημήτριος ὁ Σκήψιος καὶ Ἀπολλωνίδης ὁ Νικαεύς. ἀναγράφουσι δὲ ἐν αὐτῷ τάδε "ἀρχὴ ἥδε μοι τοῦ λόγου. πάντα τρία καὶ πλέον οὐδὲν οὐδὲ "ἔλασσον. τούτων τῶν τριῶν ἑνὸς ἑκάστου ἀρετὴ τριάς, σύνεσις καὶ "κράτος καὶ τύχη."

3. ἸΤΕΑΙ῀ΟΣ (Ἰτεαῖς Suidas et Phot.). δῆμος τῆς Ἀκαμαντίδος (φυλῆς addit Phot.) :— Ἰτέα, ἀφ᾽ ἧς ὁ δημότης Ἰταῖος :— (Duæ gl. etiam apud Photium et, inverso ordine, apud Suidam.) 5. ἼΩΝ τραγῳδίας ποιητὴς Χῖος (τὸ add. D., Phot. et Suidas) γένος :—

1. Κολλυτῷ] κολύττω A. καλύττω B.G. Ald. καλυττῷ C. Correxit Valesius Κολυττῷ, quod Κολλυτῷ scribendum erat, ut fecit Bekkerus.

— Δημοχάρης ἐν τοῖς Διαλόγοις] Hæc in corruptelæ suspicionem adduci videbantur Ruhnkenio ad Rutil. Lup. p. 8. quod Pseudo-Plutarchus in Vitis decem oratorum p. 840. tragicam Æschinis vocem non ex Democharis Dialogo, sed ἐκ τοῦ Δημοχάρους λόγου confirmet. Quod argumentum est ejusmodi ut si alter locus ex altero corrigendus sit, Plutarcho potius διαλόγου restituendum videri possit. Nam Harpocratio si orationem citare voluisset, non ἐν τοῖς λόγοις vel ἐν τῷ λόγῳ dicturus, sed orationis inscriptionem positurus erat. Dialogos autem Democharis quod ex uno novimus loco hoc Harpocrationis non magis est mirandum quam quod rerum historiam ab Demochare scriptam esse uno compertum habemus testimonio Ciceronis Brut. c. 83.

3. 4. om. C.

5. περὶ τῆς ἀντιδόσεως] p. 486. § 287. ed. Bekk. Oxon.

6. μνημονεύοι ἂν νῦν] μνημονεύει νῦν N.

7. Ὀρθομένους] Libri Ὀρθομενοῦς (ὀρθομανοῦς N.). Recto accentu apud Suidam in iis quæ de Ione aliunde sumta tradidit.

— δὲ om. B.C.G.N.

— δὲ μέλη] δὲ καὶ μέλη B.C.

8. Τριαγμὸν] τραγικὸν B.C.

12. ἥδε Lobeck. Aglaoph. p. 385. δέ libri.

— καὶ πλέον οὐδὲν οὐδὲ ἔλασσον Lobeckius. καὶ πλέον τοῦδε πλέον ἔλασσον (ἐλάσσων Ald.) libri. Dobræo hæc sic corrigenda videbantur, καὶ οὔτε πλέον οὔτ᾽ ἔλασσον τῶν τριῶν. ἑνὸς ἑκάστου ἀρετὴ τρία etc.

13. τῶν om. A. Ald.

14. Sequebantur glossæ duæ, altera ἸΩΝΙ΄Α χώρα, καὶ Ἰωνίας πόλεις ια΄, Ἔφεσος, Ἄνδροκλος, Μίλητος,

Κ.

Καβύλη: Δημοσθένης ἐν ή Φιλιππικῶν. χωρίον ἐστὶ τῆς Θράκης, ὥς φησι Θεόπομπός τε ἐν μζ' καὶ Ἀναξιμένης ἐν ή Φιλιππικῶν. οὗτος δέ φησιν αὐτὸ ἱδρύσθαι πρὸς τῷ Τάξῳ ποταμῷ κατὰ μέσον τῆς Θράκης.

Καδίσκος: Ἰσαῖος ἐν τῷ περὶ τοῦ Ἀγνίου κλήρου. ἀγγεῖόν τι εἰς ὃ ἐψηφοφόρουν οἱ δικασταὶ οὕτως ἔλεγον. Φρύνιχος Μούσαις

ἰδού, δέχου τὴν ψῆφον. ὁ καδίσκος δέ σοι
ὁ μὲν ἀπολύων οὗτος, ὁ δ' ἀπολλὺς ὁδί.

Καδμεία: Ἰσοκράτης Πανηγυρικῷ. τῆς Καδμείας καὶ οἱ ἄλλοι ῥήτορες πολλάκις μνημονεύουσι, λέγεται δὲ οὕτως ἡ τῶν Θηβαίων ἀκρόπολις, ὡς παρὰ πᾶσι σχεδὸν τοῖς ἱστορικοῖς ὡμολόγηται.

Καθάρσιον: Αἰσχίνης κατὰ Τιμάρχου. ἔθος ἦν Ἀθήνησι καθαίρειν τὴν ἐκκλησίαν καὶ τὰ θέατρα καὶ ὅλως τὰς τοῦ δήμου συνόδους μικροῖς πάνυ χοιριδίοις, ἅπερ ὠνόμαζον καθάρσια. τοῦτο δ' ἐποίουν οἱ λεγόμενοι περιστίαρχοι, οἵπερ ὠνομάσθησαν οὕτως ἤτοι ἀπὸ τοῦ περιστείχειν ἢ ἀπὸ τῆς ἑστίας.

Καθελών: Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους φησὶν "ἢ ἐν "ὁδῷ καθελών" ἀντὶ τοῦ ἀνελὼν ἢ ἀποκτείνας. ἐχρήσαντο δὲ οὕτω

1. ΚΑΒΥ'ΛΗ (καλύβη D.). χωρίον τῆς Θράκης ἱδρυμένον (χώρα—ἱδρυμένη Suidas, non Phot.) πρὸς τῷ Τάξῳ 6. Ἰσαῖος—κλήρου om. 6. ἔλεγον] ἐκαλεῖτο 9. ὁδί] ὡδί :— 10—12. ΚΑΔΜΕΙ'Α. ἡ τῶν Θ. ἀ. :— 13. Αἰσχ. κ. Τ. om. 16. περιστίαρχοι ὀνομασθέντες οὕτως ἢ ἀπὸ τοῦ περιστίχειν 18. ἐν τῷ—καθελών om. 19. ἤτοι ἀποκτείνας. καὶ Στησίχορος (στησίχωρος E.T.) δὲ καὶ Σοφοκλῆς οὕτως ἐχρήσαντο τῷ ὀνόματι (δὲ et οὕτως—ὀνόματι om. Phot.) :—

Μυοῦς, Κλαζομεναί, Χίος, Σάμος. altera in C. sic scripta ἸΩΝΙΚΩ'Σ. ἀντὶ τοῦ ἁβρῶς, τρυφηλῶς. Ἀριστοφάνης "ἐλουτροφόρουν τε καὶ διεκίνουν "Ἰωνικῶς." in B. et Ald. sic, καὶ (καὶ om. B.) ἰωνικῶς ἑλληνικῶς ἀθηναίως ἀρχαίως (ἀρχαίως om. Ald.) ἰωνικῶς ἀντὶ τοῦ ἁβρῶς τρυφηλῶς (τρυφικῶς Ald.). ἀριστοφάνης—ἰωνικῶς. Quæ omnia absunt ab A. et Epitome, conficta ex Suidæ glossis Ἰωνία et Ἰωνικός (ubi recte Ἑλληνικός, Ἀθηναῖος, ἀρχαῖος.)

2. Δημοσθένης] p. 100, 22.
— χωρίον—Φιλιππικῶν om. B.C.
4. ἱδρύσθαι] ἱδρύσασθαι A.
— τῷ om. B.C.
— Τάξῳ] Ἀξιῷ Meursius.
6. Ἰσαῖος] p. 85, 46. 86, 3.
— τι om. B.C.
7. ἐψηφοφόρουν] ἐψηφηφόρουν B.
10. Ἰσοκράτης] p. 52 a. 67 a.
13. ΚΑΘΑ'ΡΣΙΟΝ] καθάρσια A.
— Αἰσχίνης] p. 4, 10.
— κατὰ] ἐν τῷ κατὰ B.
16. ἤτοι] ἢ N., om. B.C.
18. Δημοσθένης] p. 637, 3.
— ἢ ἐν] ἦν A. Ald. ἣν B.C. Correxit Maussacus ex Demosthene.

τῷ ὀνόματι καὶ ἄλλοι, ὡς καὶ Στησίχορος ἐν Ἰλιοπέρσιδι καὶ Σοφοκλῆς ἐν Εὐμήλῳ.

Καθήκοντα: Δημοσθένης ἐν ί Φιλιππικῶν φησὶν "ὅστις οὐκ "ἠξίου τὰ καθήκοντα ἐφ' ἑαυτὸν ποιεῖν" ἀντὶ τοῦ τὰ ἥκοντα ἐφ' ἑαυτόν.

Κάθετος: ὁ καθιέμενος εἰς τὸ πέλαγος ἀμνός· Λυσίας ἐν τῷ κατὰ Τελαμῶνος. διείλεκται περὶ τοῦ καθέτου Μελίτων ἐν α' περὶ τῶν Ἀθήνησι γενῶν.

Καὶ γὰρ τὸ μηδένα τῶν μαχίμων ἄνευ τῆς τῶν ἀρχόντων γνώμης ἀποδημεῖν: Ἰσοκράτους ἐν Βουσίριδι περὶ Λακεδαιμονίων ταῦτα λέγοντος ῥητέον ὅτι καὶ οἱ τὰς Λακεδαιμονίων πολιτείας γεγραφότες τὰ ὅμοια εἰρήκασιν· ὁ δὲ Ἀριστοτέλης οὐκ ἐξεῖναί φησιν ἀποδημεῖν τοῖς Λακεδαιμονίοις, ὅπως μὴ ἐθίζωνται ἄλλων νόμων εἶναι φίλοι. τοῦ μέντοι Ἰσοκράτους τοὺς μαχίμους μόνους λέγοντος κωλύεσθαι ἀποδημεῖν οἱ περὶ Ἀριστοτέλην τοὺς πάντας Λακεδαιμονίους φασίν.

Καινῶς: Ἰσοκράτης Πανηγυρικῷ, οἷον ὡς τοῖς νεωτέροις ἁρμόττει πράγμασιν. Ἔφορος δὲ τρόπον τινὰ ἐξηγήσατο αὐτὸ ἐν τῇ α'.

Κακοτεχνιῶν: δίκης ὄνομα, ἣν οἱ ἑλόντες τινὰ ψευδομαρτυριῶν κατὰ τοῦ παρασχομένου αὐτὸν ἐδίδοσαν· Δημοσθένης ἐν τῷ

3. ί Φιλιππικῷ (ια' φιλιππικῶν Z.) 4. τὰ ἥκοντα :— 6. καθειμένος Suidas solus. ἀμνός. οὕτως Λυσίας καὶ Μελίτων :— 9.—16. om. 17. ΚΑΙΝΟ'Σ. Ἰσοκράτης ἀντὶ τοῦ ὃς τοῖς ν. ἁ. π. οὕτω δὲ καὶ Ἔφορος :— 20. οἱ om. D. κατὰ τοῦ παρασχομένου ἐδίδοσαν :—

1. Ἰλιοπερσίδι Bekkerus. ἡλίου περσίδι (περσίδου O.) A.B.C.O. Ald. Ἰλίου πέρσει Maussacus. Scripsi Ἰλιοπέρσιδι, προπαροξυτόνως. Ἰλίου πέρσιδος et, quod rectius, Ἰλιοπέρσιδι aliquoties apud Pausaniam et Athenæum.

— Σοφοκλῆς] Fragm. 214.

3. Δημοσθένης] p. 141, 11.

— ί Valesius. Libri ια' vel ἐνδεκάτῃ, quod est in Ald.

4. τὰ post τοῦ om. B C.

7. α'] πρώτῳ Ald. α" C.

10. Ἰσοκράτους] p. 225 a.

— ἐν] ἐν τῷ B.C.

11. γεγραφότες] εἰληφότες C.

12. μὴ] μηδὲ vel μὴ δὲ A. Ald.

13. ἄλλων] τῶν ἄλλων A.

14. μόνους Valesius pro νόμους.

15. ἀποδημεῖν om. C.

17. Ἰσοκράτης] p. 42 d.

— ἁρμόττει] ἁρμόττειν A. Ald. ἀρέσκει C.

18. Ἔφορος] Vide quæ s. v. ἀρχαίως dicta sunt.

— αὐτὸ om. B.C.

21. αὐτὸν] Legebatur αὐτοῦ, quod aut omittendum erat, ut factum est in Epitome, aut αὐτὸν scribendum, ut ego feci cum Bekkero.

κατὰ Τιμοθέου τίσεως, εἰ γνήσιος, καὶ ἐν τῷ κατ' Εὐέργου καὶ Μνησιβούλου.

Κακῶς εἰδότες: ἀντὶ τοῦ ἀγνοοῦντες Ἰσοκράτης ἐν τῷ περὶ εἰρήνης.

Κακώσεως: δίκης ὄνομά ἐστι ταῖς τε ἐπικλήροις κατὰ τῶν γεγαμηκότων, καὶ κατὰ τῶν παίδων τοῖς γονεῦσι, καὶ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν ἐπεξιοῦσι διδομένη· Δημοσθένης κατὰ Τιμοκράτους καὶ Λυσίας ἔν τε τῷ περὶ τοῦ Ἡγησάνδρου κλήρου καὶ ἐν τῷ ὑπὲρ * * * καὶ Ὑπερείδης περὶ τοῦ Πυρράνδρου κλήρου. ὅτι δὲ ἐξῆν καὶ παντὶ τῷ βουλομένῳ γράφεσθαι κακώσεως γονέων καὶ ταῖς ἐπικλήροις βοηθεῖν δηλοῦται ἔν τε τῷ προειρημένῳ λόγῳ Ὑπερείδου καὶ ἐν τῷ Λυσίου κατὰ Φιλωνίδου βιαίων, εἰ γνήσιος. ἦν δὲ καὶ ἄνευ ὕδατος.

3. ἐν τῇ περὶ D. 7. ὀρφανῶν. οὕτω Δημοσθένης καὶ Λυσίας καὶ Ὑπερίδης (Ὑπερείδης Phot.):—

1. κατὰ Τιμοθέου] p. 1201, 7.

— ἐν τῷ κατ' Εὐέργου] p. 1139, 10.

— κατ' addidit Maussacus.

— Εὐέργου Ald. εὐεργέτου A.B.C, quod frequens in uno alteroque Harpocrationis codice vitium est, de quo non fuit operæ pretium ubique monere.

3. Ἰσοκράτης] p. 165 c.

— ἐν τῷ addidi ex Epitome.

5. ταῖς τε] τε om. B.C.N.

— κατὰ ex Epitome pro καὶ κατὰ.

— γεγαμηκότων] Heraldum aliosque οὐ (vel μὴ) γεγαμηκότων scribentes refutavit Meier. de lite Att. p. 290.

6. τῶν παίδων] τῶν om. B.C.

7. ἐπεξιοῦσι διδομένη addidit Sauppius Fragm. p. 188. collata glossa iisdem fere verbis concepta in Lex. rhet. Bekk. p. 269, 3. ἐξιοῦσιν, sine διδομένη, dixit Photius in glossa non ex Harpocratione excerpta p. 126, 9.

— Δημοσθένης] p. 732, 20.

8. περὶ— παντὶ τῷ om. C.

— καὶ ἐν τῷ ὑπὲρ * * * (excidit Lysiæ orationis titulus) καὶ Ὑπερείδης περὶ τοῦ Πυρράνδρου κλήρου Sauppius. Legebatur καὶ ἐν τῷ ὑπὲρ τοῦ (τοῦ om. C.) Πυράνδρου κλήρου, quæ omnia om. B. "Primum orationem "de Pyrrhandri hereditate ab Hyperide scriptam esse ostendunt "verba infra posita ἐν τῷ προειρημένῳ λόγῳ Ὑπερείδου. Deinde duas "orationes Lysiæ commemoratas "esse evincit præcedens ἔν τε τῷ. "Denique dici solet περὶ (non "ὑπὲρ) τοῦ—κλήρου. Commemoratur quidem ὁ τῆς κακώσεως νόμος "apud Lysiam in orat. contra Agoratum p. 138, 32. sed vestigia "quæ in codicibus Harpocrationis "exstant eo ducunt ut ad aliam "Harpocratio orationem respexisse videatur." SAUPP. p. 188. quem couf. etiam p. 300. Partem veri viderat Maussacus, qui ante ἐν τῷ ὑπὲρ inseruit Ὑπερίδης. Paullo aliter quam Sauppius, sed minus probabiliter hæc correxit Meier. in Commcnt. de vita Lycurgi p. cxxi. Λυσίας ἔν τε τῷ περὶ τοῦ Ἡγησάνδρου κλήρου καὶ ἐν τῷ ὑπὲρ τοῦ Πυρράνδρου κλήρου καὶ Ὑπερείδης ἐν τῷ περὶ . . . (deest nomen) κλήρου.

12. ἦν—ὕδατος om. Ald. ἄνευ ὕδατος idem quod χωρὶς ὕδατος p. 93, 7.

Καλάτρεια: Δημοσθένης ἐν τῇ περὶ τῆς ἑαυτοῦ καθόδου ἐπιστολῇ. νῆσός ἐστι πλησίον Τροιζῆνος, ὡς Ἑκαταῖος ἐν περιόδῳ τῆς γῆς ἔφη. ἐκαλεῖτο δὲ πρότερον Εἰρήνη ἡ Καλαύρεια, καθά φησιν Ἀντικλείδης.

Κανηφόροι: Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος. περὶ τῶν κανηφόρων Φιλόχορος ἐν β' Ἀτθίδος φησὶν ὡς Ἐριχθονίου βασιλεύοντος πρῶτον κατέστησαν αἱ ἐν ἀξιώματι παρθένοι φέρειν τὰ κανᾶ τῇ θεῷ, ἐφ' οἷς ἐπέκειτο τὰ πρὸς τὴν θυσίαν, τοῖς τε Παναθηναίοις καὶ ταῖς ἄλλαις πομπαῖς.

Καρκίνος: Λυσίας ἐν τῇ περὶ τοῦ κυνὸς ἀπολογίᾳ, εἰ γνήσιος, "ἐλυμαίνοντο γάρ μου τὸν καρκίνον εἰσφοιτῶσαι αἱ κύνες." καὶ ὅταν ὁ σῖτος ῥιζωθῇ κατὰ τῆς γῆς, κεκαρκινῶσθαί φασι· Φερεκράτης Αὐτομόλοις

ὁπόταν σχολάζῃς, νίψον, ἵνα τὰ λήϊα
συγκαρκινωθῇ.

λέγεται καρκίνος καὶ πάθος τι συμβαῖνον ἐν τοῖς σώμασιν, ὃ νῦν καρκίνωμα καλοῦσιν. ἔστι δὲ καὶ κύριον ὄνομα, οὗ μνημονεύει Ἰσοκράτης Τραπεζιτικῷ· εἴη δ' ἂν οὗτος ὁ Ἀθηναίων στρατηγὸς ὁ πεμφθεὶς περιπλεῦσαι Πελοπόννησον. περὶ δὲ τοῦ τῆς τραγῳδίας ποιητοῦ τοῦ

1. ΚΑΛΑΥΡΙ'Α (καλαυρία codex Phot. a pr. m. καλαύρεια ab sec. Καλαβρία Suidas.) νῆσος πλησίον Τροιζῆνος (sic Suidas; τρυζηνός E.T. τρυζῆνος codex Photii). ἐκαλεῖτε δὲ πρότερον Εἰρήνη:— 5. ΚΑΝΗΦΟ'ΡΟΙ (κανᾶφόροι D.). Φιλόχορός φησιν ὡς 7. αἱ om. D. 8. οἷς] ᾧ (sic etiam Phot. et libri quidam Suidæ) 10. ἐν—γνήσιος om. 11. εἰσφοιτῶσαι] φησὶν addit. 12. φασι] φησίν E.T.D., non Phot. et Suidas. 13. Αὐτομόλοις om. 14. νῆψον 16. καρκίνωμα λέγεται. εὑρίσκεται δὲ πολλάκις (post πολλάκις interpunctum apud Photium) καὶ κύριον ὄνομα:—

1. Δημοσθένης] p. 1472, 10.
— τῇ] τῷ B.
— καθόδου] εἰ γνήσιος addit B.
5. ΚΑΝΗΦΟ'ΡΟΙ] καναφόροι A. κανοφόροι B.C. κανοφόρος N.
— κανηφόρων] κανυφόρων B.
6. Post βασιλεύοντος in B. 18 fere literarum lacuna.
7. αἱ] καὶ A.
8. οἷς Ald. fortasse ex Suida. ὧ A. ᾧ B.C. et Epitome.
— τὰ om. B.C.
11. τὸν] τὴν A.
11. αἱ κύνες] γυναῖκες B.C.G.
— καὶ om. A.B.C.N.
14. σχολᾶζῃς] σχολάζῃ A.B.C.
— νίψον, irriga, Valesius. Libri νῆψον. νεῖψον Bekkerus.
15. συγκαρκινωθῇ] σοι καρκινωθῇ A.
16. ἐν om. A.
17. δὲ om. B.
— κ. ὄνομα] ὄνομα κ. B.
— Ἰσοκράτης] p. 369 b.
— Ἀθηναίων] ἀθηναῖος B.C.
19. τοῦ post δὲ om. B.C. Ald.

Ξενοκλέους υἱοῦ Λυσίας ἐν τῷ πρὸς Μνησίμαχόν φησι "συντίθεται "δὲ τούτοις καὶ Καρκίνος ὁ ποιητὴς εἰπὼν

'οὐκ οἶνος ἐξέστησε· τὰς γὰρ ἐμφύτους
'ὀρθῶς παγείσας – ∪ – ∪ – φρένας
'οὐδεὶς ἐπαίρει καιρὸς ἐξαμαρτάνειν.'"

Καρποῦ δίκη: Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς "εἰ "γάρ τι ἐγκαλεῖς τῷδε τῷ μειρακίῳ καὶ τῶν σῶν τι ἔχει, δίκασαι "αὐτῷ κατὰ τοὺς νόμους, εἰ μὲν χωρίου ἀμφισβητεῖς, καρποῦ, εἰ δὲ "οἰκίας, ἐνοικίου, ὥσπερ οὗτος σοὶ νῦν ἐπιτροπῆς δικάζεται."

Καρύανδα: Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου. ἔστι δὲ πόλις τῆς Καρίας.

Καταβολή: Δημοσθένης ἐν θ' Φιλιππικῷ "ὥσπερ περίοδος ἢ "καταβολὴ πυρετοῦ." ἐν ταῖς περιοδικαῖς νόσοις λέγεταί τις καταβολὴ διὰ τὸ ἐν ἀποδεδειγμένῳ προσιέναι χρόνῳ, καθάπερ οἱ ἐρανισταὶ τὰς καταβολὰς ποιοῦνται τῶν χρημάτων.

Καταδεδέσθαι: ἀντὶ τοῦ πεφαρμακεῦσθαι καὶ δεδέσθαι φαρμάκοις Δείναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγγελίᾳ.

Κατὰ δήμους δικαστάς: Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. περὶ τῶν κατὰ δήμους δικαστῶν, ὡς πρότερον μὲν ἦσαν λ' καὶ κατὰ δήμους περιιόντες ἐδίκαζον, εἶτα ἐγένοντο μ', εἴρηκεν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

9. ὥσπερ νῦν οὕτως σοι ἐπιτροπῆς δ. (ἐπιδικάζεται D., omisso ἐπιτροπῆς):— 10. ΚΑΡΟΙΑ'ΝΔΑ (Καρύανδα Phot. et Suidas) πόλις Καρίας:— 12. ἐν om. θ' om. Phot. φιλιππικῶν D. 14. προϊέναι 17. Πυθαίου ἰσαγγελίᾳ (sic etiam Phot. πυθαίου vel πυθέου εἰσαγγελίᾳ Suidæ codices.) 18. ΔΙΚΑΣΤΑΙ'. οὗτοι πρότερον 20. ἐδίκαζον. ὕστερον δὲ γεγόνασι μ:—

3. οὐκ οἶνος Luzac. Exerc. Acad. 1. p. 30. Libri οὐ κεῖνος. De Hercule, qui negetur vino victus Augen compressisse, hæc verba dicta esse conjicit Bergk. Reliq. com. Att. p. 428.

4. Post παγείσας indicavi quinque syllabarum defectum. καὶ πεπλασμένας excidisse videbatur Sauppio Fragm. p. 194. Quod post παγείσας vulgo additum legitur μὲν, Maussaci interpolatio est, qui trimetrum finxit ab γὰρ incipientem hunc, γὰρ ἐμφύτους ὀρθῶς παγείσας μὲν φρένας.

5. καιρὸς] καιρὸν B.C. Ald.

6. ἐπιτροπῆς] εἰ γνήσιος addidit Maussacus: quo non opus. Nam Harpocratio orationem hanc modo addito modo omisso εἰ γνήσιος citare solet.

12. Δημοσθένης] p. 118, 20.

— ἢ] ἡ A.B. Ald.

14. προσιέναι Toupius pro προϊέναι. παριέναι N. ἰέναι B. ἱέναι C.

16. ἀντὶ—φαρμάκοις] ἀντὶ τοῦ καταδεδέσθαι φαρμάκοις πεφαρμοκεῦσθαι B.C.

18. Δημοσθένης] p. 735.

20. ἐγένοντο] ἐγίνοντο A.

21. Ἀθηναίων addidit Meier. de lite Att. p. 79.

Καταδικασάμενος: ἀντὶ τοῦ νικήσας καὶ καταδικασθῆναί τινα ποιήσας Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους ὕβρεως.

Κατάγειν τὰ πλοῖα: Δημοσθένης ἐν η´ Φιλιππικῷ. κατάγειν τὰ πλοῖα λέγεται ἀντὶ τοῦ βιάζεσθαι καὶ κακοῦν, καὶ μὴ ἐᾶν τοὺς πλέοντας ὅποι βούλονται πλεῖν, ἀλλ' εἰς τὰ οἰκεῖα χωρία τοῖς ληστεύουσι κατάγειν, ὡς καὶ Λυκοῦργος ἐν τῷ κατὰ Λεωκράτους δηλοῖ.

Κατάστασις: Λυσίας "ψηφίσασθαι δὲ τοὺς φυλάρχους ἀπενεγ- "κεῖν τοὺς ἱππεύσαντας, ἵνα τὰς καταστάσεις ἀναπράξητε παρ' "αὐτῶν." ἔοικεν ἀργύριον εἶναι ὅπερ οἱ κατασταθέντες ἱππεῖς ἐλάμβανον ἐκ τοῦ δημοσίου ἐπὶ τῇ καταστάσει, ὥσπερ αὐτὸς ὁ ῥήτωρ ἐν τοῖς ἑξῆς ὑποσημαίνει. παρεμφαίνει τοῦτο καὶ Εὔπολις Φίλοις·

οὐκ ἐσωφρόνησας, ὦ πρεσβῦτα, τὴν κατάστασιν
τήνδε λαμβάνων ἄφνω πρὶν καὶ μαθεῖν τὴν ἱππικήν.

ἔτι δὲ σαφέστερον λέγεται ἐν τῷ Σύρφακι Πλάτωνος. ἀπεδίδοτο δὲ τὸ ἀργύριον ὑπὸ τῶν ἱππευσάντων, ὅτε ἀντ' αὐτῶν ἕτεροι καθίσταντο· ἀπῄτουν δὲ αὐτὸ οἱ φύλαρχοι.

Κατὰ τὴν ἀγορὰν ἀψευδεῖν: Ὑπερείδης ἐν τῷ κατ' Ἀθηνογένους α´ "ὁ μὲν τοίνυν νόμος κελεύει ἀψευδεῖν ἐν τῇ ἀγορᾷ." ἔοικεν ὁ νόμος περὶ τῶν ὠνίων κεῖσθαι· Θεόφραστος γοῦν ἐν τοῖς περὶ νόμων φησὶ δυοῖν τούτων ἐπιμελεῖσθαι δεῖν τοὺς ἀγορανόμους, τῆς τε ἐν τῇ ἀγορᾷ εὐκοσμίας καὶ τοῦ ἀψευδεῖν μὴ μόνον τοὺς πιπράσκοντας, ἀλλὰ καὶ τοὺς ὠνουμένους.

3. Φιλιππικῷ ἀντὶ τοῦ ληΐζεσθαι καὶ κακοῦν—ὅπου (ὅποι D. et Suidas) βούλοιντο—κατάγειν:— 7. ΚΑΤΑ'ΣΤΑΣΙΣ. ἔοικεν ἡ κατάστασις ἀργύριον εἶναι 10. καταστάσει. οὕτω Λυσίας. ἀλλὰ καὶ Εὔπολίς φησιν, οὐκ ἐσωφρόνισας (sic etiam Phot.; ἐσωφρόνησας Suidas) 14. ἔτι—Πλάτωνος om. 15. τὸ om. D. 17. Ὑπερίδης—τῇ ἀγορᾷ om. 18. ἔοικε νόμος περὶ ὠνίων κεῖσθαι, ὃς κελεύει ἀψευδεῖν ἐν τῇ ἀγορᾷ. Θεόφραστος 20. δυοῖν] δυεῖν D. et Suidæ codex A.

3. Δημοσθένης] p. 92, 11.
— Φιλιππικῶν] φιλιππικῷ C. cum Epitome.
5. ὅποι N. ὅπου ceteri.
— βούλονται] βούλωνται A.
— οἰκεῖα om. B.C.G.
6. Λυκοῦργος] p. 150, 11.
7. ΚΑΤΑ'ΣΤΑΣΙΣ] De hac videnda quæ dixit Boeckh. Œc. vol. 1. p. 354.
— Λυσίας] p. 146, 10.
— ἀπενεγκεῖν—ἀναπράξητε] ἐπενεγκεῖν—ἀναπράξηται libri. Correctum ex Lysia.
11. Φίλοις om. C.
13. ἱππικήν Ald. ἱκετὴν A. ἀττικήν B. ἀττικὴν ἱππικήν C.
15. τὸ om. A.
— ὅτε ex Epitome pro ὅταν.
18. ἐν τῇ ἀγορᾷ om. B.C.
— ἔοικεν] ἔοικε δ' N.
19. ὠνίων] αἰωνίων B.C.
— τοῖς] τῇ B.C.
20. δυοῖν] δυεῖν A.N.
— τε om. B.C.

Κατατομή: Ὑπερείδης ἐν τῷ κατὰ Δημοσθένους "καὶ καθή-" μενος κάτω ὑπὸ τῇ κατατομῇ." Φιλόχορος δὲ ἐν ϛ' οὕτως "Αἰ-" σχραῖος Ἀναγυράσιος ἀνέθηκε τὸν ὑπὲρ τοῦ θεάτρου τρίποδα " καταργυρώσας, νενικηκὼς τῷ πρότερον ἔτει χορηγῶν παισί, καὶ " ἐπέγραψεν ἐπὶ τὴν κατατομὴν τῆς πέτρας."

Καταπλήξ: ὁ συνεχῶς πεπληγμένος· Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικόν, ἐν τῷ κατ' Ἀνδοκίδου ἀσεβείας, εἰ γνήσιος ὁ λόγος. Θεόπομπος Τισαμενῷ

ἀλλ' ἡ μὲν Εἰλείθυια συγγνώμην ἔχει
ὑπὸ τῶν γυναικῶν οὖσα καταπλὴξ τὴν τέχνην.

Καταχύσματα: Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου α'. ὅτι τῶν νεωνήτων οἱ δεσπόται τραγήματα κατέχεον Ἀριστοφάνης Πλούτῳ δηλοῖ· ὅτι δὲ καὶ τῶν ἀπὸ θεωρίας * * * *. κατεχεῖτο δὲ καὶ τῶν νυμφίων, ὡς Θεόπομπος Ἡδυχάρει.

1. Ὑπερείδης Phot., non Ὑπερίδης, quod habet Suidas. 2. κατὰ] ὑποκάτω Suidas. ὑπὸ] ἐν D. καὶ Φιλόχορος, καὶ ἐπέγραψεν—πέτρας :— 5. ἐπὶ τὴν κατατομὴν] ἐν τῇ κατατομῇ D. 6. πεπληγμένος. Θεόπομπος, ἀλλ' ἡ μὲν Εἰλήθυια (sic etiam Phot.) 11. ΚΑΤΑΧΥ'ΣΜΑΤΑ. τῶν νεωνήτων—κατέχεον. ἀλλὰ καὶ τῶν ἀπὸ θεωρίας ἐλθόντων. κατεχεῖτο δὲ καὶ τῷ νυμφίῳ (τῶν νυμφίων Phot.) φησὶν (φ cum compendio codex Photii, φασὶν Porsonus) ὡς Θεόπομπος :— Totam gl. omisit Suidas, qui plura de καταχύσμασιν excerpsit ex schol. Aristoph. Pl. 768.

1. Ὑπερείδης] Hyperidis verba reperiuntur in fragmentis orationis contra Demosthenem, quæ ex papyro edidit A. C. Harris Londini a. 1848., sive in Sauppii collectione p. 348, 17. Idem de κατατομῇ, cujus de significatione dubitasse grammaticos ostendunt loci collecti in Thesauro vol. 4. p. 1273, dixit in Schneidewini Philologo vol. 3. p. 614.

2. κάτω om. B.C.

3. τοῦ om. Ald.

4. τῷ—ἔτει Valesius. Libri τὸ—ἔτι.

7. τὸν Σωκρατικὸν] τὸ ναυκρατιτικὸν A.

— ἐν τῷ κατ' Ἀνδοκίδου] p. 107, 35.

9. ἡ] εἰ B.C.

9. Εἰλείθυια] εἰλήθεια B. ἀλήθεια A.N. Ald.

11. Δημοσθένης] p. 1123. extr.

12. Πλούτῳ] v. 768.

13. ὅτι] ἔτι N.

— θεωρίας Maussacus ex Epitome. καθιερίας C. Ald. et, ut opinor, A. καθιερείας B. θερείας N. Post θεωρίας indicavi lacunam: excidit enim nomen scriptoris qui de καταχύσμασιν dixerat θεωροῖς oblatis. Theopompum non de his, sed de solis νυμφίοις dixisse liquet ex versibus ejus quos apposuit schol. Aristoph. Pl. 768.

— κατεχεῖτο δὲ addidi ex Epitome.

14. ὡς] ὡς καὶ A.

— Ἡδυχάρει] ἡδυχάριτα A. ἡσυχάρει B.C.

Καταχειροτονία: ἔθος ἦν Ἀθήνησι κατὰ τῶν ἀρχόντων καὶ κατὰ τῶν συκοφαντῶν προβολὰς ἐν τῷ δήμῳ τίθεσθαι· εἰ δέ τις καταχειροτονηθείη, οὗτος εἰσήγετο εἰς τὸ δικαστήριον. ἔστι δὲ πολλάκις τοὔνομα παρά τε Δημοσθένει ἐν τῷ κατὰ Μειδίου καὶ Ὑπερείδῃ ἐν τῷ ὑπὲρ Χαιρεφίλου περὶ τοῦ ταρίχους. διεξῆλθε δὲ περὶ τῆς καταχειροτονίας καὶ Θεόφραστος ἐν δ' Νόμων.

Καταψευδομαρτυρησάμενος: ἀντὶ τοῦ παρασχὼν τοὺς τὰ ψευδῆ μαρτυρήσοντας Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου.

Κατέλευσαν: ἀντὶ τοῦ λίθοις κατέβαλον· Ὑπερείδης ἐν τῷ κατ' Αὐτοκλέους.

Κατῳκοδόμησεν: ἀντὶ τοῦ κατέκλεισεν εἰς οἴκημα καὶ ἀπέκτεινεν Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους πολλάκις.

Κεβρῆνα: Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. πόλις ἐστὶ τῆς Τρῳάδος Κεβρὴν, Κυμαίων ἀποικία, ὥς φησιν Ἔφορος ἐν α'.

Κεγχρεών: Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ "κἄπειτ' ἔπεισε τοὺς οἰκέτας τοὺς ἐμοὺς καθέζεσθαι εἰς τὸν

1. ΚΑΤΑΧΕΙΡΟΤΟΝΙ'ΑΝ. ἔθος Aliam gl. breviorem substituit Photius s. v. καταχειροτονίας. Cum Epitome consentit Suidas. 2. ἐν τῷ δήμῳ γίνεσθαι. εἰ δέ τις κ. 3. εἰς δικαστήριον. οὕτω Δημοσθένης καὶ Ὑπερίδης καὶ Θεόφραστος:— 7. τοὺς τὰ ψευδῆ (καταψευδῆ T. καταψευδῆ Suidæ codex Leid.) μαρτυρήσαντας 9. ἀντὶ τοῦ λίθοις κατέβαλον:— Phot. et Suidas aliam gl. habent, κατέλευσαν: ἐλίθασαν:— 12. Ἰσαῖος ἀντὶ τοῦ —ἀπέκτεινεν:— 13. ΚΕ'ΒΡΙΝΑ. πόλις Τρωάδος Κυμαίων ἄποικος:— 15. παραγραφῇ] γραφῇ

1. κατὰ ante τῶν σ. om. C.

2. τις Ald. et Epitome. τινας A. τινα B.C. τινὸς Bekkerus.

— καταχειροτονηθείη] καταχειροτονηθῇ A.

3. οὗτος] οὕτως N.

4. Δημοσθένης] p. 516, 7. et alibi.

— Ὑπερείδῃ] ὑπερίδης A. ὑπερίδει C. Ald.

6. Νόμων] τῶν νόμων A.C. Ald.

8. μαρτυρήσοντας] μαρτυρήσαντας B. cum Epitome.

— Δημοσθένης] p. 1101, 1. ubi passiv. καταψευδομαρτυρηθείς. Forma media est p. 846, 23.

— κατὰ] περὶ B.C.

9. ἀντὶ τοῦ addidi ex Epitome.

— λίθοις κατέβαλον Epitome et, ut videtur, B. κατέβαλον λίθοις C. κατέβαλλον λίθοις A. Ald.

11. καὶ om. B.C.

12. Ἰσαῖος—Διοκλέους] Et in oratione περὶ τοῦ Κίρωνος κλήρου p. 73, 22. ubi vid. Schœmann. p. 399.

13. 14. om. C.

13. ΚΕΒΡΗ͂ΝΑ—Κεβρὴν] Scribebatur Κέβρηνα et Κέβρην accentu vitioso, de quo dixi ad locum Demosthenis p. 671, 9.

15. ΚΕΓΧΡΕΩ'Ν] κεγχρών C. κεγχρῶν B.

— Δημοσθένης] p. 974, 16.

— παραγραφῇ Ald. haud dubie ex conjectura: nam codices et Epitome γραφῇ.

16. ἔπεισε] ἐποίησε C.

— τοὺς οἰ. τ. ἐ.] τ. ἐ. οἰκέτας N.

"κεγχρεῶνα" ἀντὶ τοῦ εἰς τὸ καθαριστήριον, ὅπου τὴν ἐκ τῶν μετάλλων κέγχρον διέψυχον, ὡς ὑποσημαίνει Θεόφραστος ἐν τῷ περὶ μετάλλων.

Κεῖοι: Λυσίας ἐν τῷ περὶ τῶν ἰδίων εὐεργεσιῶν "οἱ Κεῖοι μὲν "πόλις τοσαύτη." Κέως μία τῶν Κυκλάδων νήσων, παρακειμένη τῇ Ἀττικῇ. τὴν νῆσον δὲ πόλιν ὠνόμασεν ὁ ῥήτωρ. καὶ Εὐριπίδης τὴν Εὔβοιαν·

Εὔβοι' Ἀθήναις ἐστί τις γείτων πόλις.

Ἀριστοφάνης δὲ περὶ Σικελίας φησὶν

οἵα πόλις τάλαινα διαλυμαίνεται.

Κειριάδης: Ἰσαῖος ἐν τῇ πρὸς Βοιωτὸν ἐκ δημοτῶν ἐφέσει. ὅτι Κειριάδαι δῆμός ἐστι τῆς Ἱπποθωντίδος εἴρηκε Διόδωρος ἐν τῷ περὶ τῶν δήμων.

Κεκροπίς: Ὑπερείδης ἐν τῷ πρὸς Ἀριστογείτονα. μία δ' ἦν τῶν ι' φυλῶν Ἀθήνησι Κεκροπὶς, ὡς Δημοσθένης ἐν τῷ ἐπιταφίῳ, εἰ γνήσιος.

Κελέοντες: Ἀντιφῶν ἐν τῇ πρὸς Δημοσθένους γραφὴν ἀπολογίᾳ "ἵνα τοὺς κελέοντας κατέπηξεν." κυρίως μὲν κελέοντές εἰσιν οἱ ἱστόποδες, ὡς καὶ παρ' Ἀριστοφάνει δῆλον τῷ κωμικῷ. μεταφορικῶς δὲ νῦν ὁ ῥήτωρ λέγοι ἂν τὰ ὀρθὰ ξύλα.

2. διέψυχον:— 4. ΚΕΓΟΙ—τοσαύτη om. 5. Κίος (sic etiam Phot.) νῆσος μὲν μία τῶν Κυκλάδων παρακειμένη τῇ Ἀττικῇ. πόλιν δὲ τὴν νῆσον Λυσίας ἐκάλεσεν. ἀλλὰ καὶ ἄλλοι πολλάκις τῶν ῥητόρων τὰς νήσους πόλεις ὀνομάζουσιν:— 11. ΚΕΙΡΙΑ'ΔΗΣ (Κειριάδαι Phot., non Suidas) δῆμος (δῆμος om. Suidas) Ἱπποθοωντίδος (ἱπποθωοντίδος E.T.):— 14. ΚΕΚΡΟΠΙ'Σ. μία τῶν ἐν Ἀθήνησιν ι' φυλῶν:— 17. Ἀντιφῶν—κατέπηξαν om. 18. οἱ ἰνόποδες. Ἀντιφῶν δὲ ἐν τῇ πρὸς (τὸν addunt Phot. et Suidas) Δημοσθένην γραφῇ τὰ ὀρθὰ ξύλα οὕτως ὠνόμασεν:—

1. κεγχρεῶνα] κεγχρῶνα B.C.
— καθαριστήριον] κιθαριστήριον A. καθιστήριον N. Dixit de eo Boeckh. in comment. de metallis Laur. p. 107.
2. τῷ] τῇ B.
4. Κεῖοι οἱ ἀπὸ κέω. λυσίας. κέως μὲν N.
— ἰδίων] οἰκείων B.
6. Εὐριπίδης] Ionis v. 294.
9. Ἀριστοφάνης] Pac. 251. ubi διακναισθήσεται.
11—13. om. C.
12. Ἱπποθωντίδος] Scribebatur Ἱπποθοωντίδος.
15. ὡς (ὁ addit B.) Δημοσθένης] p. 1398, 21.
19. ἱστόποδες] ἰνόποδες A. Ald. ἰνοπώλιδες B. οἰνοπόλιδες C. οἰνοπόαι λιδες N. Per ἱστόποδες, quod Maussacus restituit, explicant Phot. in alia gl. p. 153, 24. Etym. M. p. 502, 13. aliique grammatici.
— ὡς καὶ] καὶ om. B.C.
— Ἀριστοφάνει] Fragm. 628.

Κεραμεῖς: Ὑπερείδης ἐν τῷ ὑπὲρ Ξενοφίλου α΄. δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος Κεραμεῖς, ὥς φησι Διόδωρος. φησὶ δὲ Φιλόχορος ἐν γ΄ εἰληφέναι τούτους τοὔνομα ἀπὸ τῆς κεραμικῆς τέχνης καὶ τοῦ θύειν Κεράμῳ τινὶ ἥρωϊ.

Κεραμεικός: Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα περὶ ὅρων. ὅτι δύο εἰσὶ Κεραμεικοὶ, ὡς καὶ ὁ ῥήτωρ φησὶν, ὁ μὲν ἔνδον τῆς πόλεως, ὁ δὲ ἕτερος ἔξω, ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον δημοσίᾳ καὶ τοὺς ἐπιταφίους ἔλεγον, δηλοῖ Καλλικράτης ἢ Μενεκλῆς ἐν τῷ περὶ Ἀθηνῶν.

Κερκιδᾶς: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος τοὺς προδότας καταλέγων φησὶν "Ἀρκάδας Κερκιδᾶς." ὅτι δ' οὗτος τῶν τὰ Μακεδονικὰ φρονούντων ἦν εἴρηκε καὶ Θεόπομπος ἐν ιε΄ Φιλιππικῶν.

Κέρκουρος: εἶδος τι νεώς· Δείναρχος Τυρρηνικῷ.

Κέρκωψ: Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. ἐν τοῖς εἰς Ὅμηρον ἀναφερομένοις Κέρκωψιν δηλοῦται ὡς ἐξαπατητῆρές τε ἦσαν καὶ ψεῦσται οἱ Κέρκωπες· Ξεναγόρας δὲ εἰς πιθήκους αὐτοὺς μεταβαλεῖν φησι, καὶ τὰς Πιθηκούσσας νήσους ἀπ' αὐτῶν κληθῆναι.

1. ΚΕΡΑΜΙ´Σ. δῆμός ἐστιν φυλῆς τῆς Ἀ. ἡ Κεραμίς. εἴληφε δὲ τοὔνομα ἀπὸ τῆς 5. ΚΕΡΑΜΕΙΚΟ´Σ (Κεραμικός D. et Phot. Κεραμεικοί Suidas). δύο ἦσαν Κεραμικοὶ (Κεραμεικοὶ Suidas), ὁ μὲν ἔνδον τῆς πόλεως, ὁ δὲ ἔξω 8. καὶ τοὺς ἐ.] καὶ ἐ. D. ἔλεγον:— 10. ΚΕΡΚΙ´ΔΑΣ. εἷς ἦν τῶν τὰ Μακεδονικὰ φρονούντων:— 14. νεώς:— 15. ΚΕ´ΡΚΩΨ (Κέρκωπες Phot.). ἐξαπατητῆρες (in T. ἐξαπατῆρες cum γρ. ἐξαπατητῆρες. In codice Photii τῇ primo omissum statim addidit librarius.) ἱστοροῦνται καὶ ψεῦσται οἱ Κέρκωπες εἰς] ἐς (εἰς Photius) 18. Πιθηκούσας (πηθικίνους D.)—κληθῆναι. δύο δὲ ἦσαν οἱ Κέρκωπες, ὧν ὁ μὲν Ἄνδουλος, ὁ δὲ Ἄτλαντος ὀνομάζεται:—

1. Ξενοφίλου α΄] ξενοφῶντος λᾶ B.C.

2. τῆς om. B.C.

3. τέχνης om. Ald.

5.—9. om. C.

6. τῆς πόλεως Epitome. τῇ πόλει A. ἐν τῇ πόλει B.C. Ald.

7. ἔξω Epitome. Libri ἔξω τῆς πόλεως.

10. 11. ΚΕΡΚΙΔΑ´Σ] Scribebatur Κερκίδας.

10. Δημοσθένης] p. 324, 9.

11. δ' οὗτος] δοῦλος B.C.

12. ἐν ιε΄] ἐν τῷ ιε΄ A. ἐν τῷ πεντεκαιδεκατῷ Ald. ἐν ε΄ B. ἐν ε⁊ C.

14. Τυρρηνικῷ Blancardus. Libri τυραννικῷ.

15. Αἰσχίνης] p. 33, 24.

— πρεσβείας] παραπρεσβείας Ald.

17. εἰς ex Photio pro ἐς, quod om. C. εἰς etiam Suidas in gl. aliunde sumta.

18. Πιθηκούσσας ex Epitomes codicibus E. T. (qui πιθηκούσας ut Suidas) ex Photio (cujus codex a m. pr. πίθικοι). πιθηκίνους A B. Ald. πυθικήνους C.

— ἀπ'] ἐπ' B. ὑπ' C.

Αἰσχρίων δὲ ὁ Σάμιος ἐν τοῖς ἰάμβοις καὶ τὰ ὀνόματα αὐτῶν ἀναγράφει, Κάνδουλον καὶ Ἄτλαντον.

Κεινέας: *Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ὡμολόγηται καὶ παρὰ τοῖς ἱστορικοῖς ὅτι Κεινέας εἷς ἦν τῶν προϊεμένων Φιλίππῳ τὰ Θετταλῶν πράγματα, καὶ μάλιστα Θεοπόμπῳ ἐν α΄, ἅμα καὶ διεξερχομένῳ τὰ περὶ τὸν ἄνδρα.*

Κερσοβλέπτης: *πολλάκις τούτου μνημονεύουσιν οἱ ῥήτορες, ὥσπερ καὶ Δημοσθένης κατ' Ἀριστοκράτους. ἦν δὲ παῖς Κότυος, καὶ νεώτατος ὢν βασιλεὺς κατεστάθη ὑπὸ τοῦ πατρὸς Θρᾴκης. ὅτι δὲ καὶ περὶ Χερρονήσου ποτὲ ἐπολέμησεν Ἀθηναίοις δηλοῖ καὶ Ἰσοκράτης ἐν τῷ περὶ εἰρήνης.*

Κεστρῖνοι: *Ὑπερείδης ἐν τῷ περὶ τοῦ ταρίχους. κεστρῖνος ἰχθύς. ἐπισκεπτέον δὲ εἰ διαφέρει τι κεστρέως.*

Κέφαλος: *ὄνομα κύριον, δημαγωγός.*

3. ΚΙΝΕ'ΑΣ. *εἷς ἦν τῶν — πράγματα*:— Totam gl. om. Photius. 7. ΚΕΡΣΟΒΛΕ'ΠΤΗΣ. *παῖς μὲν* (*μὲν* om. Suidæ codex A.) *ἦν Κότυος—Θρᾴκης* (*Θρᾴκης* post *κατεστάθη* Suidas):— 12. ΚΕΣΤΡΙ῀ΝΟΣ (*κεστρινός* T.). *εἶδος ἰχθύος. σκεπτέον δὲ εἰ διαφέρει κεστραῖος* (sic etiam Phot. et Suidæ codex Leid.):— 14. ΚΕ'ΦΑΛΟΣ. *ἔστιν καὶ ὄνομα δημαγωγοῦ*:— Gl. habet Phot., om. Suidas alia substituta.

1. *Αἰσχρίων—Σάμιος* Maussacus. Legebatur *Αἰσχίνης — Σαρδιανός*. Tzetza ad Lycophr. 688. *ἕτεροι Γιγάντων νήσους τὰς Πιθηκούσσας ἤκουσαν· μέμνηται δὲ αὐτῶν καὶ Αἰσχρίων ἐν ἑβδόμῳ Ἐφεσίδος* (*Ἐφημερίδος* Meinek. ad Babr. p. 139.)

— *τὰ* om. B.

2. *Κάνδουλον*] Legebatur *Ἀνδοῦλον*, quod *αὐδοῦλον* scriptum in A. In Epitome proparoxytonum est *Ἄνδουλος*. Correxi ex Suida, qui post ea quæ ex Xenagora attulit pergit, *τὰ δὲ ὀνόματα αὐτῶν Κάνδουλος καὶ Ἄτλας*. *Κάνδωλος* Hesychius explicat per *κακοῦργος, λῃστής*. Alii alia tradiderunt horum fratrum nomina, de quibus dixit Lobeck. Aglaoph. p. 1305.

— *Ἄτλαντον*] Nomen suspectum, quod *Ἄτλαντα* scribendum erit, si apud Suidam recte legitur *Ἄτλας*.

3. ΚΕΙΝΕ'ΑΣ] *Κινέας* Epitome, ut apud Demosthenem legitur p. 324, 8. Sed Harpocrationem *Κεινέας* scripsisse literarum series docet, etsi recta nominis forma *Κινέας* est, cujus exempla alia attuli in Thesauro vol. 4. p. 1567.

4. *εἷς ἦν*] *ἦν εἷς* A. *τις ἦν* C.

6. *διεξερχομένῳ*] *διερχομένῳ* C.

8. *Δημοσθένης*] p. 623. 656.

10. *Ἰσοκράτης*] p. 163 d.

12. ΚΕΣΤΡΙ῀ΝΟΙ Maussacus *κεστρίναι* A. *κενστρόναι* B.C. Ald.

— *τοῦ* om. B.C.

— *κεστρῖνος*] *κενστρῖνος* B. C. Novæ glossæ initium in Ald.

13. *δὲ* om. N.

14. *ὄνομα κύριον*] *ὁ* A.B. om. G.

— *δημαγωγός*] *δημαγωγοῦ* Ald. cum Epitome.

Κεφαλῆθεν: Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα ἐπιτροπῆς. Κεφαλὴ δῆμος τῆς Ἀκαμαντίδος, ἀφ' ἧς ὁ δημότης λέγεται Κεφαλῆθεν, καθά φησι Διόδωρος.

Κηδωνίδης: Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου "ὑπερβαίνων "τούσδε τοὺς ἀγρίους, Κηδωνίδην καὶ Αὐτοκλείδην καὶ Θέρσανδρον." παιδερασταί τινες ἦσαν οὗτοι σφοδροί.

Κηκίς: βάμμα τι καὶ στύμμα, ἢ καρπός τις δρυὸς ἐπιτήδειος εἰς βαφήν· Δημοσθένης ἐν τῷ κατ' Ἀφόβου α'.

Κῆπος: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. πόλις δ' ἐστὶ κατὰ Βόσπορον καλουμένη Κῆπος.

Κηρύκεια: ὁ διδόμενος μισθὸς τοῖς κήρυξιν ἐπὶ ταῖς γινομέναις πράσεσιν· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους.

Κήρυκες: Ἰσοκράτης Πανηγυρικῷ. γένος ἐστὶν ἐν Ἀθήναις οὕτως ὀνομαζόμενον, κέκληται δὲ ἀπὸ Κήρυκος τοῦ Ἑρμοῦ.

Κηττοί: Λυσίας ἐν τῷ κατὰ Νικίδου ἀργίας. δῆμός ἐστι τῆς Λεοντίδος, ὡς Διόδωρος ὁ περιηγητής φησιν.

1. ΚΕΦΑΛΗ͂ΘΕΝ. δῆμος Ἀκαμαντίδος ἡ Κεφαλή:— Glossam similem habet Photius, cum Epitome consentit Suidas. 4. ΚΗΔΩΝΊΔΗΣ. οὗτος τεθρυλημένος ἦν ἐπὶ παιδεραστίᾳ ἀνυπερβλήτῳ:— Cum Epitome consentit Photins: apud Suidam Κηδωνίδης, Κηδωνίδου. οὗτος—ἀνυπερβλήτῳ, ὡς Αὐτοκλείδης καὶ Θέρσανδρος:— 7. βάμμα τι καὶ στύμμα] βαμματικὸν στύμμα Suidas. ἔστι μὲν καὶ καρπός τις περιφέρης· ἔστι δὲ καὶ βάμμα τι καὶ στύμμα Phot. καρπὸς] καὶ ὀπὸς Photius. τις] τῆς E.T., om. Phot., habet Suidas. 8. βαφήν:— 9. ΚΗ͂ΠΟΣ. πόλις κατὰ Βόσπορον οὕτω καλουμένη:— 11. ΚΗΡΥΚΕΊΑ—] Hanc gl. habet Suidas, non Photius. τοῖς om. 12. πράσεσιν (πράξεσιν Suidas). οὕτως Ἰσαῖος:— 13. ΚΗ'ΡΥΚΕΣ. γένος ἐν Ἀθήναις ὠνομασμένον ἀπὸ Κ. τοῦ Ἑρμοῦ:— 15. ΚΗΤΤΟΊ. δῆμος τῆς Λεοντίδος:— Κηττός. δῆμος Λ. φυλῆς Phot.

1. ἐπιτροπῆς:— C.

5. Κηδωνίδην] κηδωνίδης A. κηδωνίδας C.N.

— καὶ Αὐτοκλείδην καὶ Θ. addidi ex Æschine p. 8, 11. ipsoque Harpocratione p. 67, 3.

7. ΚΗΚΙ'Σ] κῆκις Ald. κίκι N.

— τις] τῆς B.C.

8. Δημοσθένης] p. 816, 20. 827, 3.

9. 10. om. C.

9. ΚΗ͂ΠΟΣ si scripsit Harpocratio, finxit ex plurali Κῆποι, qui recte legitur apud Æschinem p. 78, 11.

— ἐν τῷ om. A.

— ἐστὶ κατὰ Βόσπορον] ἐστὶ βασπόρου B.

11. ΚΗΡΥ'ΚΕΙΑ] Scribebatur κηρυκεία. Correxi e Lex. rhet. Bekk. p. 255, 2. Vide quæ s. v. ἐπώνια diximus. Polluci 4, 93. ubi scribebatur κηρύκειον καὶ κηρυκεία τέλους τινὸς ὀνόματα, Bekkerus κηρύκεια restituit tacite, fortasse ex codicibus.

— γινομέναις πράσεσιν] διδομέναις πράξεσιν N.

12. καὶ Δημοφάνους Maussacns pro καὶ Δημοφάνης, quod om. C.

13. Ἰσοκράτης (ἰσαῖος A.)] p. 73 d.

15. ΚΗΤΤΟΙ'] κηπτοὶ B. κηπτὸς C.

— νικίδου A. Legebatur Νικίου.

Κηφισιεύς: Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους. δῆμός ἐστι τῆς Ἐρεχθηΐδος φυλῆς, ὡς αὐτός φησιν.

Κηφισόδωρος: Λυκοῦργος ἐν τῷ κατὰ Μενεσαίχμου. κεκωμῴδηται δὲ οὗτος ὡς νωθής. ἕτερος δ' ἂν εἴη Κηφισόδωρος ὃς ἵππαρχος ὢν ἐν Μαντινείᾳ μετὰ Γρύλλου τοῦ Ξενοφῶντος ἀπέθανεν, οὗ μνημονεύει Δείναρχος ἐν τῷ κατὰ Καλλαίσχρου.

Κηφισόδοτος: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Ἀνδροτίων ἐν ε' Ἀτθίδος ἱστορεῖ ὡς Ἀλωπεκόννησον πολιορκῶν ἀπεχειροτονήθη καὶ κριθεὶς ἑάλω καὶ ἀπέτισε πέντε τάλαντα.

Κιγκλίς: Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος. αἱ τῶν δικαστηρίων θύραι κιγκλίδες ἐκαλοῦντο· Ἀριστοφάνης Δαιταλεῦσιν

ὁ δ' ἡλιαστὴς εἶρπε πρὸς τὴν κιγκλίδα.

Κίναδος: ἀντὶ τοῦ θηρίου Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· ἔστι δὲ καὶ ἐν τῇ κωμῳδίᾳ, ὡς καὶ παρ' Ἀριστοφάνει. ἰδίως δέ φασι Σικελιώτας τὴν ἀλώπεκα καλεῖν κινάδιον.

Κινησίας: Λυσίου β' λόγοι εἰσὶ πρὸς Κινησίαν, ἐν οἷς πολλάκις μνημονεύει τἀνδρὸς, λέγων ὡς ἀσεβέστατος εἴη καὶ παρανομώτατος,

1. ΚΗΦΙΣΙΕΥ'Σ. *δῆμος τῆς Ἐρεχθηΐδος :—* 3. ΚΗΦΙΣΟ'ΔΩΡΟΣ. *ἄλλος μὲν ὃς κεκωμῴδηται ὡς ὀνώδης* (*ὠνώδης* T.), *ἕτερος δὲ ὁ ὕπαρχος, ὃς ἐν Μαντινείᾳ μετὰ Γρύλου* (*Γρύλλου* Suidas) *τοῦ Ξενοφῶντος ἀπέθανεν :—* 7. ΚΗΦΙΣΟ'ΔΟΤΟΣ. *οὗτος Ἀλωπεκόννησον* 10.—12. ΚΙΓΚΛΙ'ΔΕΣ. *αἱ τῶν δικαστηρίων θύραι :—* 13. ΚΙ'ΝΑΔΟΣ. *Δ. ἐν τῷ κατὰ* (*ὑπὲρ* Phot.) *Κτησ. ἀντὶ τοῦ θηρίου* (*ἀντὶ τοῦ* om. Phot., qui *θηρίου* ante *Δημοσθένης* collocat). *ἰδίως δέ φασι* (*φασὶ* post *Σικελιώτας* Photius)—*κινάδιον καλεῖν :—* Aliam gl. habet Suidas, cujus ultima tantum verba *ἰδίως—καλεῖν* cum Epitome consentiunt. 16.—178, 4. ΚΙΝΗΣΙ'ΑΣ. *ὄνομα κύριον· οὗτος ἐπ' ἀσεβείᾳ καὶ παρανομίᾳ διεθρυλεῖτο. ἦν δὲ διθυραμβοποιός :—*

1. 2. om. C.

2. *αὐτὸς*] Non opus Bekkeri conjectura *ὁ αὐτός*. Sic s. v. *κομιστικὰ πλοῖα* est *ὡς αὐτὸς ὁ ῥήτωρ ὑποσημαίνει ἐν τῷ λόγῳ*, ubi B. *ὁ αὐτός*.

4. *ἵππαρχος*] *ὕπαρχος* C. et Epitome, quod falsum esse intelligitur ex Pausania 8, 9, 10.

7. *Αἰσχίνης*] p 60 extr.

8. *ἀλωπεκόνησον* simplici *ν* B.C.

10. *Δημοσθένης*] p. 776, 17. 778, 11.

11. *Ἀριστοφάνης*] Fragm. 18.

12. *εἶρπε πρὸς*] *εἰς περὶ* B.C.G.

13. *Δημοσθένης*] p. 281, 22. 307, 23.

14. *δὲ* om. A. Ald.
Μαργίτης: Αἰσχίνης *ἐν τῷ κατὰ* Κτησιφῶντος " *ἐπωνυμίαν δὲ* " Ἀλεξάνδρῳ Μαργίτην *ἔθετο.*" *καὶ* Μαρσύας *ἐν ε' τῶν περὶ* Ἀλεξάνδρου *ἱστορεῖ λέγων* Μαργίτην *ὑπὸ* Δημοσθένους *καλεῖσθαι τὸν* Ἀλέξανδρον. *ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτω διὰ τὸν εἰς* Ὅμηρον *ἀναφερόμενον* Μαργίτην, *ὅπερ ποίημα* Καλλίμαχος *θαυμάζειν ἔοικεν.*

Μαρώνεια: Δημοσθένης *ἐν τῇ πρὸς* Πανταίνετον *παραγραφῇ. τόπος ἐστὶ τῆς* Ἀττικῆς. *ἔστι μέντοι καὶ πόλις ἐν* Θράκῃ Μαρώνεια, *ἥν φασιν εἶναι τὴν ὑφ'* Ὁμήρου Ἴσμαρον *καλουμένην· μνημονεύ-*

4. *ὁ μεμαλαγμένος* (*μεμαγμένος* Phot.) *κηρός* :— 7. ΜΑΝΤΙΝΑΊΩΝ ΔΙΩΚΙΣΜΌΣ. *εἰς ε' κώμας τὴν Μαντιναίων διῴκησαν πόλιν οἱ Λακεδαιμόνιοι. καὶ ἐκλήθη τοῦτο Μαντιναίων διωκισμός* :— 11. *δὲ* om. 12. *ἔθετο. ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτως* :— 16. Μ. *τόπος ἐστὶ τῆς* Ἀ. *οὐ* Δ.—*παραγραφῇ μνημονεύει. ἔστι δὲ καὶ πόλις ἐν Θρᾴκῃ, ἥν φησιν* (*φασὶν* Suidas) *εἶναι*—*καλουμένην* :—

1. *μαλακιζόμεθα*] *μαλκιζόμεθα* D. *μακιζόμεθα* B.
— *ἐν—τὸν*] *δηλοῖ δὲ τὸ τὸν* N.
— *γράφεται*] *γράφομεν* A.D.P.Q. Ald. *γράφομεν καὶ* C.
— *μαλκίομεν* D. *μακίομεν* B. *μαλακίομεν* A.C. Ald.
2. *ὄρρον* N. *ὄρον* B.P.Q. *ὅρον* A.C. Ald.
— Αἰσχύλος] Fragm. 330.
3. *ἕλα, δίωκ' ἀκμῆτι* Hermannus. Libri *ἐλλαδίῳ* (*ἐλαδίω* A.Q.) *κεκμῆτι*. Imperativum *ἕλα* jam Valesius restituit.
— *μαλκίων*] *μαλακίων* B. C. N. Ald.
— *ποδί*] *ποδὶ ἤτοι πορείᾳ* N.
4. ΜΑ'ΛΘΗ] *μαλθαι* B.C.
— Δημοσθένης] p. 1132, 13.
6. *τρόπιν* Maussacus pro *τρόπην*.
— *παραχρίσας*] *χρίσας* A. *περιχρίσας* Valcken. in Thesauro vol. 6, p. 984. recte, ut videtur.
7. Ἰσοκράτης] p. 91 a.
8. Λ.] *τῶν* λ. B.
9. *τὴν* om. C.
11. Αἰσχίνης] p. 76, 24. Αἰσχίνης om. B.C.
12. *ἔθετο* ex Epitome pro *ἔθεντο*.
— Μαρσύας] *μαρσύαν* A.
16. ΜΑΡΩ'ΝΕΙΑ] Hanc gl. om. C.
— Δημοσθένης] p. 967, 17.
— *παραγραφῇ* ex Epitome pro *γραφῇ*.

ουσι δὲ αὐτῆς Δημοσθένης τε ἐν τῷ πρὸς Πολυκλέα καὶ Ἔφορος ἐν τῇ δ΄.

Μασσαλία: Ἰσοκράτης μέν φησιν ἐν Ἀρχιδάμῳ ὡς Φωκαεῖς φυγόντες τὴν τοῦ μεγάλου βασιλέως δεσποτείαν εἰς Μασσαλίαν ἀπῴκησαν· ὅτι δὲ πρὸ τούτων τῶν χρόνων ἤδη ὑπὸ Φωκαέων ᾤκιστο ἡ Μασσαλία καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ δηλοῖ.

Μάστειρα: ἐν η΄ Φιλιππικῶν Δημοσθένης "τῶν μὲν ἐν Θρᾴκῃ "κακῶν· τί γὰρ ἂν ἄλλο τις εἴποι Δρογγίλον καὶ Καβύλην καὶ "Μάστειραν;" μήποτε γραπτέον Βάστειραν ἢ Πίστειραν ἢ Ἐπίμαστον, ἐπεὶ ταύτας τὰς πόλεις εὑρίσκομεν παρ' Ἀναξιμένει ἐν ζ΄ τῶν περὶ Φίλιππον, τὴν δὲ Μάστειραν οὐδαμοῦ μνήμης τυχοῦσαν.

Μαστῆρες: Ὑπερείδης ἐν τῷ πρὸς Πάγκαλον. ἔοικεν ἀρχή τις εἶναι ἀποδεδειγμένη ἐπὶ τὸ ζητεῖν τὰ κοινὰ τοῦ δήμου, ὡς οἱ ζητηταὶ καὶ οἱ ἐν Πελλήνῃ μάστροι, ὡς Ἀριστοτέλης ἐν τῇ Πελληνέων πολιτείᾳ.

Ματρυλεῖον: Δείναρχος ἐν τῷ κατὰ Προξένου. Ἡρακλέων καὶ Δίδυμος τόπον τινά φασιν εἶναι ἐν ᾧ γρᾶες διατρίβουσαι

3. ΜΑΣΣΑΛΙ΄Α. Ἰσοκράτης φησὶν—ἀπῴκησαν. μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ Ἀριστοτέλης :— 8. ΜΑΣΤΕΙ΄ΡΑ (Μάστηρα Phot.) 9. τίς γὰρ ἂν ἄλλο τις — Δρογγίλον (δρογγύλον D. Δρόγγιλον Phot.) — Μαστείραν (Μάστειρα Phot.). μήποτε δὲ γραπτέον ἀντὶ τοῦ Μαστείραν Βαστείραν ἢ Πιστείραν ἢ Ἐπίμαστον (Μάστειραν ἢ Βάστειραν ἢ Πίστειραν ἢ Ἐπιμαστόν Phot. Et sic Suidas quoque, nisi quod ἢ ante Βάστειραν omittit et Ἐπίμαστον proparoxytonum habet.). ταύτας δὲ τὰς πόλεις (πολιτείας Suidas)—Ἀναξιμένη (–ει Phot. et Suidas) — Μαστείραν (Μάστειραν Phot. et Suidas) οὐδαμοῦ :— 12. ΜΑΣΤΗ῀ΡΕΣ. ἀρχή τις ἀποδεδειγμένη ἐπὶ τὸ (τῷ Phot. et Suidas)—Πελλήνῃ (Πέλλῃ Suidas) μάστροι (μαστροί Phot.) :— 17. ΜΑΤΡΥΛΕΙ῀ΟΝ. τόπον τινὰ φασὶν εἶναι

1. Δημοσθένης] p. 1213, 3.
3. Ἰσοκράτης] p. 133 c.
— ἐν om. B.
5. ἀπῴκησαν] ἀπῴκισαν B.C. Ald.
— ἤδη om. C.
— Φωκαέων] φωκέων B.C. φωκαίων Ald.
8. η΄] ὀγδόῃ A.B.C. Ald.
— Δημοσθένης] p. 100, 22.
9. Δρογγίλον] δρογγύλον B.C.
11. ζ΄] ἑβδόμῳ Ald. η΄ C.
14. τὸ—τοῦ δήμου] τῷ—τῷ δήμῳ B.C.G.

15. Πελληνέων Valesius. Libri πελληνίων.
17. ΜΑΤΡΥΛΕΙ῀ΟΝ] Alterum λ superscriptum in N., qui infra quoque ματρυλλείῳ habet. Utriusque scripturæ testes et exempla v. in Thesauro s. v. Μαστρύλλιον vol. 5. p. 609.
— Ἡρακλέων] ἡρακλείων B. C. Ald.
18. τινὰ om. B.C.
— φασιν] φησιν C.

δέχονται τοὺς βουλομένους καταμεθυσθῆναι· Μένανδρος Ἐπιτρέπουσιν

οὐκ οἰμώξεται
καταφθαρεὶς ἐν ματρυλείῳ τὸν βίον;

Μαύσωλος: Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ὄνομα κύριον, ἄρχων Καρῶν. φησὶ δὲ αὐτὸν Θεόπομπος μηδενὸς ἀπέχεσθαι πράγματος χρημάτων ἕνεκα.

Μαχάτας: ὄνομα κύριον.

Μέδιμνος: Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. μέτρον ἐστὶ ξηρῶν, οἷον πυρῶν ἢ κριθῶν, ἔχει δὲ χοίνικας μη΄, καθά φησι Νίκανδρος ὁ Θυατειρηνὸς ἐν τοῖς ἐξηγητικοῖς τῆς Ἀττικῆς διαλέκτου.

Μεθώνη: Δημοσθένης Φιλιππικοῖς. λέγοι ἂν τὴν ἐν Θράκῃ, ἣν πολιορκῶν Φίλιππος ἐξεκόπη τὸν δεξιὸν ὀφθαλμόν. Δημήτριος δ' ὁ Μάγνης ἐν ταῖς Συνωνύμοις πόλεσι τέσσαρας εἶναί φησι Μεθώνας.

Μεῖον καὶ μειαγωγός: Ἰσαῖος ἐν τῷ πρὸς Στρατοκλέα "παρέστησε μεῖον." θῦμά ἐστιν ὃ τοῖς φράτορσι παρεῖχον οἱ τοὺς παῖδας εἰσάγοντες εἰς τούτους. Ἐρατοσθένης δ' ἐν τοῖς περὶ κωμῳδίας φησὶν οὕτως "νόμου ὄντος μὴ μεῖον εἰσάγειν ὡρισμένου τινός, ἐπισκώπτοντες μετὰ παιδιᾶς πάντα τὸν εἰσάγοντα μεῖον ἔφασαν εἰσά-

4. καταφθαρεὶς] κατατρεὶς E.T. et Suidas. καταφθερεῖσθαι D. Totam gl. om. Phot., alia substituta. 5. ΜΑΥΣΩΛΟΣ (Μαύσωλος Phot. et Suidas) ἄρχων 9. ΜΕΔΙΜΝΟΣ. μέτρον ἐστὶν ξηρὸν—χοίνικας ἢ καὶ μ:— Apud Photium breviter μέδιμνον: μέτρον χοινίκων μή:— Sic etiam Suidas in initio alius glossæ, post quam idem μέδιμνον. μέτρον ἐστὶ ξηρῶν—κριθῶν, ut apud Harpocrationem. 12. Δ. ἐν Φ.—ὀφθαλμόν. τέσσαρας δὲ εἶναί φησιν Μεθώνας Δημήτριος ὁ Μάγνης:— 15. Στ. φησὶν παρέστη μεῖον. θῦμα δέ ἐστιν 17. Ἐρατοσθένης—ἔφασαν εἰσάγειν om.

4. καταφθαρεὶς N. καταφθυρεῖσθε A.B.C. Ald. καταφθαρῆσθε G. Veræ scripturæ vestigium superest in corruptela Epitomes κατὰ τρεῖς.

5. ΜΑΥΣΩΛΟΣ] μαυσωλός A. B. Ald.

— Δημοσθένης] p. 703, 22.

8. ΜΑΧΑΤΑΣ. ὄνομα κύριον] Hanc gl. vulgo aute Μαύσωλος lectam huc transposui ubi habet Epitome. Abest a B.C. Nulla hujus nominis exempla reperiuntur in oratorum scriptis quæ supersunt.

9. κατὰ om. A.C. Ald.

10. ξηρῶν] ξηρὸν A.N.

10. οἷον] ἢ B.

— ἔχει δὲ χοίνικας μή] χωρῶν χοίνικας ή καὶ μ΄ N.

11. Θυατειρηνὸς Maussacus. θυατηρινὸς libri, nisi quod θυατῆρηνὸς N.

12. Δημοσθένης] p. 11, 17.

13. δ' om. B.C.

15. ΜΕΙΟΝ—παρέστησε om. B.C.

16. ἐστιν om. C.

18. νόμου ὄντος om. B.C.

— ἐπισκώπτοντες μετὰ παιδιᾶς Valesius. ἐπισκώπτοντα (-τας C.) μετὰ παιδείας libri.

" γειν, ὅθεν τὸ μὲν ἱερεῖον μεῖον προσηγορεύθη, μειαγωγὸς δὲ ὁ εἰσά- " γων." Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν " οἱ φράτορές" φησιν, " ἵνα " μείζονας νέμωνται μερίδας, ἐφώνουν ἑστῶτες ἱστάνειν δεῖν, μεῖον " γάρ ἐστι." περὶ δὲ τοῦ μειαγωγοῦ Εὔπολις ἐν Δήμοις

τοιγαροῦν στρατηγὸς οὐδεὶς ἐξ ἐκείνου τοῦ χρόνου
ἐδύναθ', ὥσπερ μειαγωγὸς ἑστιῶν ⏑ – ⏑ –
– ⏑ – τῆς τοῦδε νίκης πλεῖον' ἑλκύσαι σταθμόν.

ΜΕΙΑΓΩΓῆΣΑΙ δέ ἐστι τὸ ἐπιδοῦναι τοῖς φράτορσι τὸ μεῖον, ὡς Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς.

ΜΕΛΑΝΊΠΠΕΙΟΝ: Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος. Μελανίππου τοῦ Θησέως ἡρῷόν ἐστιν, ὥς φησιν Ἀσκληπιάδης Τραγῳδουμένοις. Κλείδημος δ' ἐν α' Ἀτθίδος ἐν Μελίτῃ αὐτὸ εἶναι λέγει.

ΜΕΛΆΝΩΠΟΣ: Δημοσθένης κατ' Ἀνδροτίωνος. ὄνομα κύριον, κηδεστὴς Διοφάντου τοῦ ῥήτορος.

ΜΕΛΊΝΗ: Δημοσθένης Φιλιππικοῖς. ὀσπρίου ἐστὶ σπέρμα, καὶ ἀρσενικῶς λέγουσι· θηλυκῶς δὲ Σοφοκλῆς Τριπτολέμῳ " κνήμη με-

1. ὅθεν τὰ μὲν ἱερεῖα μειῶν (μεῖον D. Phot. et Suidas) προσηγορεύθη:— μειαγωγὸς δὲ (δὲ om. Phot. et Suidas et omittere debuerunt in glossa a præcedentibus separata.)—Ἀπολλόδωρος δὲ (δὲ om. Phot. et Suidas) ἐν τοῖς —οἱ (ὅτι οἱ Suidæ codex A.) φράτορες, ἵνα μείζους (μείζονος Phot.) νέμωνται (νέμωνται om. Phot.) μερίδας (μερίδος Phot.) ἐπεφώνουν ἑστῶτες κτανεῖν δεῖν (δεῖος Phot. δεῖ ὃς Suidæ codices.). μεῖον γάρ ἐστιν. μειαγωγῆσαι δέ ἐστιν τὸ ἐπιδοῦναι τοῖς φράτορσι τὸ μεῖον:— 10. ΜΕΛΑΝΊΠΠΙΟΝ. Μελανίππου—ἐστιν:— 13. ΜΕΛΑΝΩΠΌΣ (Μελάνωπος Suidæ ed. Mediol.). οὗτος κ. ἦν Δ. τοῦ ῥήτορος:— 15. ἐν Φιλιππικῷ. ὄσπριόν ἐστιν, ὅπερ καὶ

1. τὸ μὲν ἱερεῖον N. Ceteri τὰ μὲν (μὲν om. D.) ἱερεῖα.

— μεῖον π.] π. μεῖον A.

— δὲ om. C.G.

3. ἑστῶτες] περιεστῶτες dixit schol. Aristoph. Ran. 802.

5. οὐδεὶς in libris post χρόνου positum huc transposui. Ante στρατηγὸς collocaverat Blancardus.

6. ἐδύναθ' Bergkius Comment. p. 348. Libri δύναται.

— ἑστιῶν—τῆς τοῦδε] Indicavi septem syllabarum defectum. Probabiliter H. Jacobi apud Meinek. vol. 1. p. 172. ed. minoris hæc sic correxit et supplevit ἱστάνων τὰ πράγματα | τῷ ζυγῷ τῆς τοῦδε—. Si recte legatur ἑστιῶν, accusativum τοὺς φράτερας addendum esse conjecerat Meinek. vol. 2. p. 456. ed. majoris.

7. σταθμόν] θυμόν B.C.

12. δ' om. B.

13. ΜΕΛΆΝΩΠΟΣ] Scribebatur Μελανωπός. Rectum accentum habent libri Demosthenis testaturque Theognostus Canon. p. 69, 24.

— κατ' Ἀνδροτίωνος] Immo κατὰ Τιμοκράτους p. 703, 21. 740, 9.

15. Δημοσθένης] p. 100 extr. et ubi hic locus repetitur p. 135, 27.

16. ἀρσενικῶς] ἀρρενικῶς N.

— Σοφοκλῆς] Fragm. 534.

— Τριπτολέμῳ Maussacus pro Τριπτολέμου (τριπολέμου B.)

— κνήμη] μνήμη B.C.G.

“λίνης” καὶ Ἡρόδοτος “σπείροντες μελίνην.” Ξενοφῶν Ἀναβάσεως α´ “καὶ σίτου καὶ μελίνης,” ἐν δὲ τῷ αὐτῷ “πολὺν δὲ σήσαμον καὶ “μέλινον” καὶ ἐν ϛ´ “καὶ ὄσπρια πάντα καὶ μελίνους.” ἔνιοι μὲν οὖν εἶδος κέγχρου νομίζουσι τὴν μελίνην, ὅπερ τινὰς καλεῖν ἔλυμον· Θεόφραστος δὲ ἐν ζ´ περὶ φυτῶν ὡς διαφέροντα ταῦτα ἀναγράφει, “κέγχρον ἢ μελίνην ἢ ἔλυμον.”

Μελίτη: Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. δῆμός ἐστι τῆς Κεκροπίδος· κεκλῆσθαι δέ φησι τὸν δῆμον Φιλόχορος ἐν γ´ ἀπὸ Μελίτης θυγατρὸς κατὰ μὲν Ἡσίοδον Μύρμηκος, κατὰ δὲ Μουσαῖον Δίου τοῦ Ἀπόλλωνος.

Μένδη: Δημοσθένης κατὰ Λακρίτου. μία πόλις ἐστὶ τῶν ἐν Παλλήνῃ Μένδη, ὑπὸ Ἐρετριέων ᾠκισμένη.

Μενέλαος: Δημοσθένης Φιλιππικοῖς. ἀδελφὸς Φιλίππου ὁμοπάτριος.

ἀρσενικῶς λέγεται. Σοφοκλῆς μὲν γὰρ καὶ Ἡρόδοτος καὶ Ξενοφῶν θηλυκῶς εἶπον μελλίνην (μελίνη Phot. duoque libri Suidæ). Ξενοφῶν δὲ ὁ αὐτὸς ἐν Ἀναβάσει καὶ μέλλινον καὶ μελλίνους (μέλινον καὶ μελίνους Phot.) εἶπεν. (Sequentia om. D.) ἔνιοι δὲ εἶδός τι κέγχρου (κεγχρίου Suidas)

4. et 6. μελίνην] μελλίνην (μελίνην Suidas) 7. δῆμος δέ (δέ om. Suidæ codex A.) ἐστι τῆς Κ. ὀνομασθεὶς ἀπὸ Μελίτης κατὰ μὲν Ἡσίοδον θυγατρὸς Μύρμηκος, κατὰ δὲ 11. ΜΕΝΔΗ. πόλις μία τῶν ἐν Πελλήνῃ Μένδη ὑπὸ Ἐρετριέων ᾠκισμένη (ἀπῳκισμένη D.):— Aliam gl. babet Photius. 13. Δ. Φ.] Δ. ἐν Φ.

1. Ἡρόδοτος] 3, 117.

— σπείροντες μελίνην] σπείροντος μελίνης B.C.G.

— Ξενοφῶν—μελίνης om. B.C.G.

— Ἀναβάσεως α´] c. 5, 10. ubi legitur ἐλάμβανον—σῖτον μελίνης.

2. ἐν δὲ τῷ αὐτῷ] 1, 2, 22. ubi legitur πολὺ δὲ καὶ σήσαμον καὶ μελίνην.

— πολὺν] πολλὴν B.

— σήσαμον καὶ μέλινον] σίσαμον καὶ μελίνην C.

3. καὶ ἐν—μελίνους om. C.

— ἐν ϛ´] c. 4, 6. ubi nunc μελίνας. Vitiosa quam Harpocratio, sive quem is sequitur grammaticus, in exemplari suo Xenophontis reperit scriptura μέλινον et μελίνους induxisse eum videtur ut formam fingeret masculinam μέλινος, quam nullam fuisse recte judicare videtur Schneiderus ad Theophrast. vol. 5. p. 446.

3. μελίνους] μελίνη Ald. μελίνα B. μέλινα G.

4. οὖν om. B.C.

— τινὰς—ἔλυμον] τινὲς ἔλυμον ὀνομάζουσι N.

4. 6. ἔλυμον] ἔλυμνον A.

5. δὲ om. B.C.

— ἐν ζ´] Immo Hist. Pl. 8, 1, 1.

7. Δημοσθένης] p. 1258 extr.

9. θυγατρὸς om. C.

11. Δημοσθένης] p. 926, 1. 929, 15. 935, 9.

— π. ἐστὶ] ἐστὶ π. C.

12. Παλλήνῃ] πελλήνῃ B. cum Epitome.

13. Δημοσθένης] p. 47, 21.

Μεσεγγύημα: τὸ ὁμολογηθὲν ἀργύριον παρ' ἀνδρὶ μέσῳ γινομένῳ ἐγγυητῇ τῆς ἀποδόσεως. καὶ μεσεγγυήσασθαι τὸ ποιῆσαι τοῦτο λέγεται, ὡς ὑποσημαίνει Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

Μεταγειτνιών: Ὑπερείδης ἐν τῷ ὑπὲρ Ξενίππου. ὁ δεύτερος μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται. ἐν δὲ τούτῳ Ἀπόλλωνι Μεταγειτνίῳ θύουσιν, ὡς Λυσιμαχίδης ἐν τῷ περὶ τῶν Ἀθήνησι μηνῶν.

Μεταλλεῖς: Λυσίας ἐν τῷ πρὸς Διοχάρη, εἰ γνήσιος. οἱ τὰ μέταλλα ἐργαζόμενοι μεταλλεῖς ὀνομάζονται. ἔστι δὲ καὶ δρᾶμα Φερεκράτους Μεταλλεῖς, ὅπερ Νικόμαχόν φησι πεποιηκέναι Ἐρατοσθένης ἐν ζ' περὶ τῆς ἀρχαίας κωμῳδίας.

Μεταπύργιον: Λυσίας ἐν τῷ περὶ τῶν ἰδίων εὐεργεσιῶν. τὸ ἐν μέσῳ οἰκοδόμημα τῶν ἐπὶ τοῦ τείχους πύργων μεταπύργιον ἐλέγετο. οὕτω καὶ Θουκυδίδης πολλάκις, ὥσπερ ἐν τῇ γ'.

Μετοίκιον: Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρας. μέτοικος μέν ἐστιν ὁ ἐξ ἑτέρας πόλεως μετοικῶν ἐν ἑτέρᾳ καὶ μὴ πρὸς ὀλίγον ὡς ξένος ἐπιδημῶν, ἀλλὰ τὴν οἴκησιν αὐτόθι καταστησάμενος. ἐδίδοντο δὲ ὑπ' αὐτῶν καθ' ἕκαστον ἔτος δραχμαὶ ιβ', ὅπερ ὠνόμαστο μετοί-

3. λέγεται:— Aliam gl. habet Photius. 4. ΜΕΤΑΓΕΙΤΝΙΩΝ. δεύτερος μὴν παρὰ Ἀ. ἐν δὲ τούτῳ—θύουσιν:— 7. ΜΕΤΑΛΕΙΣ. οἱ τὰ μέταλα (μεταλλεῖς—μέταλλα Suidas) ἐργαζόμενοι οὕτως ὀνομάζονται (οὕτως ὀν. om. Phot.):— 11. Λυσίας—εὐεργεσιῶν om. τὸ om. Phot. et Suidas. 13. καὶ Θουκυδίδης καὶ Λυσίας:— 14. Ὑπερείδης—Ἀρισταγόρας om. 16. ἐπιδημῶν ὡς ξένος. ἐδίδοντο 17. ὠνόμασται μετοίκιον. Ἰσαῖος δ' ἐν

3. Αἰσχίνης] p. 71, 18.

4. ὑπὲρ Ξενίππου] Oratio ab nemine memorata: exstat vero Hyperidis oratio ὑπὲρ Εὐξενίππου εἰσαγγελίας ἀπολογία, nuper a Babingtono Cantabrigiæ edita. Hinc in promptu foret ὑπὲρ Εὐξενίππου Harpocrationi restituere, si Μεταγειτνιῶνος nomen in ea legeretur, quod non legitur. Quanquam vel sic fieri potest ut verum sit Εὐξενίππου, de quo pluribus conjecturis locus est. Nec mirum si Εὐξενίππου nomen in Ξενίππου corruptum fuerit. Nam Εὐξενίππου nomen ex rarioribus est. Euxenippum archontem olymp. 118, 4. memorant Diodor. 20, 81. et Dionys. Hal. de Dinarcho c. 9.

4. ὁ δεύτερος N. Aberat ὁ.

5. Μεταγειτνίῳ] μεταγειτνιῶνι B. C.

7. Διοχάρη] διοχάρην B.

— τὰ additum ex N. et Epitome.

9. ὅπερ] ὥσπερ B.C.

—πεπ. Ἐρ.] ἐρ. πεπ. C.

13. ἐν τῇ γ'] c. 22.

14. Ἀρισταγόρας] ἀρισταγόρου A. B. Ald.

16. καταστησάμενος Saupp. Fragm. p. 280. Legebatur κατακτησάμενος.

17. ιβ'] Non decem, ut apud Hesychium scriptum est: v. Boeckh. Œc. vol. 1. p. 446.

—ὠνόμαστο] ὠνόμασται B.C. Ald. cum Epitome.

κιον, ὡς δηλοῖ Εὔβουλος ἐν τῇ Πλαγγόνι. Ἰσαῖος δ' ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους ὑποσημαίνει ὅτι ὁ μὲν ἀνὴρ ιβ' δραχμὰς ἐτέλει μετοίκιον, ἡ δὲ γυνὴ ϛ', καὶ ὅτι τοῦ υἱοῦ τελοῦντος ἡ μήτηρ οὐκ ἐτέλει· μὴ τελοῦντος δ' ἐκείνου αὐτὴ τελεῖ. ὅτι δὲ καὶ οἱ δοῦλοι ἀφεθέντες ὑπὸ τῶν δεσποτῶν ἐτέλουν τὸ μετοίκιον ἄλλοι τε τῶν κωμικῶν δεδηλώκασι καὶ Ἀριστομένης. Μένανδρος δ' ἐν Ἀνατιθεμένῃ καὶ ἐν Διδύμαις πρὸς ταῖς ιβ' δραχμαῖς καὶ τριώβολόν φησι τούτους τελεῖν, ἴσως τῷ τελώνῃ. οἱ μέντοι μὴ τιθέντες τὸ μετοίκιον μέτοικοι ἀπήγοντο πρὸς τοὺς πωλητὰς, καὶ εἰ ἑάλωσαν ἐπιπράσκοντο, ὥς φησι Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος. ἐνεβίβαζον δὲ καὶ εἰς τὰς ναῦς τοὺς μετοίκους, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν Φιλιππικοῖς δηλοῖ. ἐκάλουν δὲ οἱ κωμικοὶ σκαφέας τοὺς μετοίκους, ἐπεὶ ἐν ταῖς πομπαῖς τὰς σκάφας ἐκόμιζον οὗτοι.

Μετοιωνίσασθαι: *ἀντὶ τοῦ μεταθέσθαι τὸν φαῦλον οἰωνὸν Δείναρχος ἐν τῷ κατὰ Δημοσθένους.*

Μετρονόμοι: *ἀρχή τις Ἀθήνησίν ἐστιν ἡ τῶν μετρονόμων, ὡς Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. ἦσαν δὲ τὸν ἀριθμὸν ι', ε' μὲν*

4. *ἐκείνου* om. *αὐτὴ] αὔτη* *τελεῖ—δοῦλοι] ἐτέλει. καὶ* (*καὶ* om. Suidas) *οἱ δοῦλοι δὲ* 5. *μετοίκιον. Μένανδρος δέ φησιν πρὸς ταῖς* 7. *φησι* om. 8. *τὸ μετοίκιον μὴ τιθέντες* 9. *πολίτας, καὶ εἰ ἑάλοντο* (sic etiam Phot. et libri Suidæ deteriores, *ἑάλωντο* meliores) *ὥς—Ἀριστογείτονος* om. 11. *ὁ αὐτὸς ῥήτωρ] Δημοσθένης* 14. *οἰωνόν:—* 16. *ἐστὶν* om. 16. *ἡ] οἱ* *ὡς—Καλλισθένους* om. 17. *τὸν ἀριθμὸν ιε' μὲν* (*δεκαπέντε μὲν* Phot. quod divisim scribi debebat *δέκα, πέντε μὲν*) *εἰς Πειραιᾶ, θ'* (*ἐννέα* Phot. *ι'* Suidæ codex Leid.) *δὲ εἰς ἄστυ*

8. Πλαγγόνι Salmasius. *πλαγγῶνι* B.C. Ald. *πλαγῶνι* A.
3. *ἡ μήτηρ] ἐκείνη* C.
4. *τ. δ'] δὲ τ.* B.
6. *Μένανδρος δ' ἐν* om. B.C.
8. *τιθέντες] τιμηθέντες* B.
9. *πωλητὰς* Valesius. *πολίτας* libri.
10. *Δημοσθένης]* p. 787 extr.
11. *ὁ* om. B.
— *ἐν Φιλιππικοῖς]* p. 50, 22.
14. *Δείναρχος]* p. 101, 45. et p. 94, 5.
16. *'Α. ἐστιν] ἐστιν ἀ.* B.
17. *κατὰ* om. B.C.
— *τὸν ἀριθμὸν ι', ε' μὲν εἰς Πειραιᾶ, ε' δ' εἰς ἄστυ]* Legebatur *τὸν ἀριθμὸν ιε'* (*πεντεκαίδεκα* Ald.), *εἰς μὲν τὸν Πειραιᾶ ι'* (*δέκα* Ald.), *ε'* (*πέντε* Ald.) *δὲ εἰς ἄστυ*. Correxi Epitomes ope. Similiter *ἀγορανόμους, ἀστυνόμους* et *σιτοφύλακας* quinque in urbe totidemque in Piræeo constitutos fuisse tradit Harpocratio: de quibus omnibus Vœmelius in Bergkii Ephem. antiq. a. 1852. p. 31. rectius judicavit quam Boeckhius Œc. vol. 1. p. 70. et 118., qui hoc loco vulgatam probavit scripturam transpositis tantum numeris *ι'* et *ε'* hunc in modum, *εἰς μὲν τὸν Πειραιᾶ πέντε, δέκα δ' εἰς ἄστυ*, cui non solum Epitomes, sed etiam duorum ali-

εἰς Πειραιᾶ, ε΄ δ᾽ εἰς ἄστυ, εἶχον δὲ τὴν ἐπιμέλειαν ὅπως δίκαια ᾖ τὰ μέτρα τῶν πωλούντων, ὡς καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ δηλοῖ.

Μέταυλος: Λυσίας ἐν τῇ ὑπὲρ τοῦ Ἐρατοσθένους φόνου ἀπολογίᾳ. μέταυλός ἐστιν ἡ ῥυπαρὰ λεγομένη αὐλὴ, οὗ ὄρνιθες ἦσαν· Ἀριστοφάνης Λημνίαις καὶ Μένανδρος Θαΐδι.

Μηκύβερνα: Ὑπερείδης ἐν τῷ κατὰ Δημάδου. πόλις ἐστὶν ἐν Θρᾴκῃ σταδίους κ΄ ἀπέχουσα τῆς Ὀλύνθου ἡ Μηκύβερνα.

Μηλόβιος: Ὑπερείδης ἐν τῷ κατ᾽ Αὐτοκλέους. ἔστι δὲ εἷς τῶν λ΄ τῶν παρ᾽ Ἀθηναίοις τυραννησάντων.

Μητρῷον: Λυκοῦργος ἐν τῷ κατ᾽ Ἀριστογείτονος. τοὺς νόμους ἔθεντο ἀναγράψαντες ἐν τῷ μητρῴῳ· δηλοῖ Δείναρχος ἐν τῷ κατὰ Πυθέου.

Μίκων: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας "καὶ Μίκωνα τὸν "γράψαντα καταδεῶς τοὺς Ἕλληνας ἐζημίωσαν."

2. πωλούντων:— 4. ΜΕ'ΤΑΥΛΟΣ—ἀπολογίᾳ om. 5. ἐστιν om. ἦσαν:— 7. Ὑπερείδης—Δημάδου om. 9. ΜΗΛΟ'ΒΙΟΣ. εἷς τῶν—τυραννησάντων, οὗ (οὗ om. Phot.) Ὑπερίδης ἐν τῷ κ. Α. μέμνηται:— 12. ἀναγράψαι ἐν τῷ μ.:— 14. ΜΗ'ΚΩΝ. ὄνομα κύριον:— Omiserunt gl. Photius et Suidas.

orum grammaticorum anctoritas obstat, Lexici rhet. Bekk. p. 278, 25. μετρονόμοι: ἀρχή τις Ἀθήνησι κληρωτὴ ἡ τῶν μετρονόμων, δέκα τὸν ἀριθμὸν, ὧν πέντε μὲν ἦσαν ἐν τῷ Πειραιεῖ, πέντε δὲ ἐν ἄστει. οὗτοι δὲ τὴν ἐπιμέλειαν εἶχον ὅπως δίκαια ᾖ τὰ μέτρα τῶν πωλούντων. et Photii p. 264, 25. μετρονόμοι ἄρχοντες ἦσαν δέκα τὸν ἀριθμὸν, ὧν πέντε μὲν ἐν ἄστει, πέντε δὲ ἐν Πειραιεῖ. καὶ εἶχον τὴν ἐπιμέλειαν ὅπως — πωλούντων. Ratio autem qua Boeckhius utitur ut uumerum majorem urbi, minorem Piræeo vindicet, etsi aliquam veri speciem habet, nou est tamen ejusmodi ut propterea autiqua codicum lectio recentis correctoris interpolationi posthabeuda videatur, quum præsertim manifesta sit origo erroris. Nam quum iu veteribus codicibus scriptum esset ΗΣΑΝΔΕΤΟΝΑΡΙΘΜΟΝΙΕΜΕΝΕΙΣ ΠΕΙΡΑΙΑΕΔΕΙΣΑΣΤΥ, quod est ἦσαν δὲ τὸν ἀριθμὸν ι΄, ε΄ μὲν εἰς τὸν Πειραιᾶ, ε΄ δ᾽ εἰς ἄστυ, id autem male lectum esset ἦσαν δὲ τὸν ἀριθμὸν ιε΄, μὲν εἰς Πειραιᾶ, ε΄ δ᾽ εἰς ἄστυ, consequens erat ut corrector aliquis μὲν transponeret post εἰς numerumque denarium post Πειραιᾶ inferret. Plane eodem modo eademque de caussa, sed non obliterato ut hic errore, peccatum est s. v. σιτοφύλακες et iu numero φν΄ (pro φ΄ et ν΄) iu libris Epitomes s. v. πρυτάνεις.

1. ᾖ ex Epitome pro εἴη.

4. Λυσίας] p. 93, 19.

6. Ἀριστοφάνης] Fragm. 338.

— Λημνίαις] λημνείαις A.B. Ald.

10. τῶν om. A.

11. νόμους ex Epitome pro νόθους.

14. ΜΙ'ΚΩΝ—Μίκωνα Blaucardus. Libri μήκων—μήκωνα. Mico intelligeudus pictor celeberrimus, Polygnoti æqualis, de quo post alios dixerunt Sillig. in Catalogo artificum p. 275. et O. Jahnius in commentat. archæol. p. 17.

Μόλπις: Λυσίας ἐν τῷ περὶ τοῦ Διογένους κλήρου φησὶ "Μόλ-" πις ὁ τῶν ί τῶν ἐν Πειραιεῖ." οἱ δ' ἄρα κατὰ τοὺς λ' δέκα ἄνδρες ἦρχον ἐν Πειραιεῖ, ὧν εἷς ἦν ὁ Μόλπις, ὡς Ἀνδροτίων ἐν γ' Ἀτθίδος.

Μοιροκλῆς: ὄνομα κύριον, Σαλαμίνιος, τῶν παρ' Ἀθηναίοις οὐκ ἀφανῶς πολιτευσαμένων.

Μοιρολογχῆσαι: ἀντὶ τοῦ μέρους μεταλαβεῖν Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίου ἔνδειξιν ἀπολογίᾳ.

1. ΜΟΛΠΙ´Σ (Μόλπης Phot.). μετὰ τοὺς λ' ί ἄνδρες ἦρχον ἐν τῷ Πειραιεῖ, ὧν εἷς ἦν ὁ Μολπίς (Μόλπης Phot.) :— 4, 5. Hanc gl. post proximam collocat. 4. ΜΥΡΟΚΛΗ^Σ. Σ. τὸ γένος, τῶν π. Ἀ. οὐ καταπολιτευσαμένων (οὐ καλῶς π. Photius. οὐκ ἀφανῶς π. Suidas, libris aliquot οὐκ ἄπο π. præbentibus) :— 6. ΜΟΙΡΟΔΙΚΗ^ΣΑΙ (–δοκῆσαι Suidas; totam gl. om. D. et Phot.)

P. 205, 15. καταδεῶς τοὺς Ἕλληνας Saupp. Fragm. p. 265. Libri ἕως τοὺς λ' (vel τριάκοντα ut Ald.) μῆνας. Miconem mulctatum ab Atheniensibus esse quod in pictura pugnæ Marathoniæ barbaros Græcis majores pinxerat narrat Sopater in Walzii Rhet. vol. 8. p. 126. μετὰ Μαραθῶνα Μίκων ὁ ζωγράφος τοὺς βαρβάρους γράψας μείζους τῶν Ἑλλήνων κρίνεται. μῆνας in μνᾶς mutaverat Maussacus, in μναῖς Meierus in Vita Lycurgi p. cxxxix.

— ἐζημίωσαν] ἐζημίωσας B.C.

P. 206, 1. τοῦ om. C.

— κλήρου addidit Sauppius. Sic Harpocratio ipse hanc orationem citat s. v. δέκα καὶ δεκαδοῦχος.

2. τῶν ί addidit Sauppius. "Decemviros enim a Lysia ipso " commemoratos fuisse Harpocra- " tionis verba videntur docere. " De his decemviris Piræensibus, " sæpe cum prioribus illis com- " mutatis, cf. Vales. ad h. l. Tay- " lor. V. Lysiæ p. 105. Meier. de " bonis damn. p. 187. Scheibius " in libro de rerum ordine Athenis " ab optimatibus turbato p. 67." SAUPP. Fragm. p. 184.

— οἱ δ' Maussacus. Libri ἐκ δ'.

— κατὰ pro μετὰ Kusterus ad Suidam, cujus emendatio confirmatur Lex. rhet. Bekk. p. 235, 32. δέκα ἦσάν τινες ἐν Πειραιεῖ οἱ ἄρχοντες κατὰ τὴν τυραννίδα τῶν τριάκοντα.

2. ἄνδρες] ἄρχοντες A. Ald.

3. ἦρχον] ἦσαν C.

— γ'] πέμπτῃ C.

— Sequebatur, Μόθων, φλύαρος, φορτικός, ἄτιμος, αἰσχρός. λέγουσι γὰρ τοὺς Ἀθηναίους χειρωσαμένους τοὺς Μόθωνας δουλικῇ καὶ ἀγεράστῳ (καὶ ἀστεράστω. B. κἀνεράστω C.) περιστῆσαι τύχῃ. ὅθεν καὶ Ἀττικοὶ Μόθωνες, ἢ ἀπὸ Μόθωνός τινος αἰσχρὰ ποιοῦντος καὶ ἀεὶ (ἀεὶ om. C.) ἐν (καὶ ἐν B. G.) τοῖς πότοις (τόποις O.) ὀρχουμένου. Μόθωνας δὲ καλοῦσι Λάκωνες τοὺς παρατρεφομένους τοῖς ἐλευθέροις παῖδας. ἢ ἀντὶ τοῦ ἀνόητος. ἄλλοι δὲ λέγουσι δουλοπρεπεῖς σπερμολόγους. Recte hæc om. Epitome. Nam illata sunt ex schol. Ar. Pl. 279. pariter atque illa quæ de κοβάλοις post Κοτύλαιον illata supra notavimus.

4. 5. om. B.C.

4. Μοιροκλῆς] Memoratur aliquoties ab Demosthene.

6. Hanc gl. om. A., post proximam habet B.

— ΜΟΙΡΟΛΟΓΧΗ^ΣΑΙ] Legebatur μοιροδικῆσαι, quod μοιροδοκῆσαι scriptum ap. Suidam. Correxi cum Valesio ex Polluce 4, 176, qui μοιρολοχῆσαι ex Antiphonte attulit, quod μοιρολογχῆσαι scribendum esse monuit Valck. ad Herodot. 7, 53. Vid. de hoc verbo L. Dindorf. in Thesauro vol. 5. p. 1138.

Μουνυχία: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. τόπος παραθαλάσσιος ἐν τῇ Ἀττικῇ. Ἑλλάνικος δὲ ἐν β΄ Ἀτθίδος ὠνομάσθαι φησὶν ἀπὸ Μουνύχου τινὸς βασιλέως τοῦ Πανтаκλέους.

Μουνυχιών: Ὑπερείδης ἐν τῷ ὑπὲρ Ξενοφίλου. ὁ δέκατος μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται, ἐν δὲ τούτῳ τῷ μηνὶ Ἀρτέμιδι θύεται Μουνυχίᾳ.

Μουσαῖος: Λυσίας πρὸς τὴν Μιξιδήμου γραφήν, εἰ γνήσιος, "καὶ δύο παῖδας αὐτῷ ἀκολούθους εἶναι, ὧν οὗτος τὸν μὲν Μουσαῖον "καλεῖ, τὸν δὲ Ἡσίοδον." ὅτι μὲν ὁ κρινόμενος ἐπετήδευσε τοὺς οἰκέτας οὕτω καλεῖν δῆλον· περὶ δὲ Μουσαίου Ἀριστόξενος ἐν τοῖς Πραξιδαμαντείοις φησὶν ὅτι οἱ μὲν ἐκ Θράκης εἰρήκασι τὸν ἄνδρα εἶναι, οἱ δὲ αὐτόχθονα ἐξ Ἐλευσῖνος. εἰρήκασι δὲ περὶ αὐτοῦ ἄλλοι τε καὶ Γλαῦκος.

Μόραν: Δημοσθένης Φιλιππικοῖς. συντάγματά τινα Λακωνικὰ οὕτω καλεῖται. διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ. φησὶ δὲ ὡς εἰσὶ μόραι ἓξ ὠνομασμέναι, καὶ

4. Ὑπερείδης—Ξενοφίλου om. 5. οὕτω καλεῖται om. ἐν δὲ τούτῳ Ἀρτέμιδι ἔθυον Μουνυχίᾳ :— 7. εἰ om. 9. ἐπετήδευε 10. οὕτω] τοῦτο Ἀριστόξενος—φησὶν ὅτι om. 12. Ἐλευσῖνος :— 14. ΜΩ΄ΡΩΝ (μωρῶν Phot. μορῶν Suidas, cujus gl. om. codex A). Δ. ἐν Φ.—οὕτως (οὕτω Phot. et Suidas). φησὶν δὲ Ἀ.—μοῖραι ϛ΄ (ἑπτὰ Phot.)—μοίρας—Ξενοφῶν δέ φησιν ἐν τῇ Λακεδαιμονίων (Λακώνων Phot. et Suid.) πολιτείᾳ. ἑκάστη—μώρων (μωρῶν Phot.)—πολέμαρχον ἕνα (μόναρχον ἕνα Suidas, sed πολέμαρχον ἐν πρώτῳ codex Leid., ἕνα pro ἐν α΄ accepto)—πεντηκοστύας η΄, ἐννομοτάρχας (sic Suidæ cod. Leid.) ἑκκαίδεκα :—

1. Δημοσθένης (διογένης B. C.)] p. 262, 17.

2. β΄] τῇ δευτέρᾳ Ald. δευτέρῳ D. E loco Hellanici, quem excerpserat Diodorus Siculus, plura attulit schol. Demosthen. vol. 8. p. 299, 7.

3. Μουνύχου Blancardus, ut ap. schol. Demosth. scriptum est. μουνυχίου libri.

— Πανтаκλέους] πεντακλέους B.C. G.

9. μὲν om. B.

10. οὕτω καλεῖν om. C.

— ἐν τοῖς Πραξιδαμαντείοις (sic correxi quod in libris est πραξιδαμαντίοις) om. B.C. De argumento hujus libri, qui nusquam alibi memoratur, diversæ sunt Reinesii et Jonsii sententiæ: v. Mahn. in Diatribe de Aristoxeno p. 128.

11. οἱ om. C.

13. Γλαῦκος] Rheginus in libro περὶ ἀρχαίων ποιητῶν καὶ μουσικῶν, cujus fragmenta collegit Mueller. in Histor. Fragm. vol. 2. p. 23.

— Γλαῦκος. ΜΟ΄ΡΑΝ] γλαῦκος ὁ μόρων A.

14. ΜΟ΄ΡΑΝ Bekkerus ex Demosth. p. 172, 26. Libri μόρων, quod saltem μορῶν esse debebat ut scriptum apud Suidam.

15. Λακεδαιμονίων] ἀθηναίων B.C.

16. μόραι Bekkerus. Libri vel μοῖραι, quod est in A. et Ald., vel μοῖρα, quod habent B.C.G.

— ἓξ ὠνομασμέναι] ἓξ om. Ald. ἐξωνομασμέναι C. ἐξωνομασμένα B.G.

— καὶ δ.] δ. δὲ B.C.G.

διῄρηνται εἰς τὰς μόρας Λακεδαιμόνιοι πάντες. Ξενοφῶν δὲ ἐν τῇ Λακώνων πολιτείᾳ φησὶν "ἑκάστη δὲ τῶν πολιτικῶν μορῶν ἔχει πο- "λέμαρχον ἕνα, λοχαγοὺς δ', πεντηκοστύας η', ἐνωμοτάρχας ιϛ'."

Μυλωθρός: ὁ μυλῶνα κεκτημένος καὶ ἐργαζόμενος ἐν αὐτῷ· Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους πολλάκις. ἔστι δὲ καὶ παρὰ τοῖς κωμικοῖς πολὺ τοὔνομα.

Μύριοι ἐν Μεγάλῃ πόλει: Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. συνέδριόν ἐστι κοινὸν Ἀρκάδων ἁπάντων, οὗ πολλάκις μνημονεύουσιν οἱ ἱστορικοί. διείλεκται δὲ περὶ αὐτῶν καὶ Ἀριστοτέλης ἐν τῇ κοινῇ Ἀρκάδων πολιτείᾳ, ἀρχόμενος τοῦ βιβλίου.

Μύρτανον: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. φρούριον ἦν ἐν Θρᾴκῃ, ὡς Μαρσύας ὁ πρεσβύτερος ἐν ζ' Μακεδονικῶν καὶ Ἀναξιμένης ἐν Φιλιππικοῖς.

4. ΜΥ'ΛΟΘΡΟΣ (μύλωθρας Phot. μυλωθρός Suidas)—καὶ ἐ. ἐν αὐτῷ (sic Lex. rhet. Bekk. p. 279. ἐ. ἑαυτῷ Phot. ἐν αὐτῷ om. Suidas) :— 7. ΜΥ'ΡΙΟΙ (μυρίοι Phot.) ἐν Μεγαλοπόλει—οἱ ἱστορικοί :— 11. ΜΥΡΤΩ'ΝΙΟΝ (Μυρτόνιον Phot. et Suidas) Δ. ὑπὲρ (ἐν τῷ ὑπὲρ Phot. et Suidas)—Θρᾴκῃ :—

1. μόρας Bekkerus. Libri μοίρας.

— ἐν τῇ Λ. (ἀθηναίων C.) πολιτείᾳ] c. 11, 4.

2. ἑκάστη Ald. ἑκάστῳ A.B.C.

— μορῶν] Libri μόρων.

— πολέμαρχον] φύλαρχον B.

3. πεντηκοστύας] πεντηκοστῆρας apud Xenophontem. Utrumque vitiosum. Nam vera nominis forma est πεντηκοντῆρας, de qua dixi in Thesauro vol. 6. p. 740.

— ἐνωμοτάρχας] ἐννομοτάρχας B. Ald. ἐνομοτάρχας C.

— ιϛ'] ια' C.

4. μυλῶνα] Epitome. Scribebatur μύλωνα contra regulam Arcadii p. 12, 25. et Theognosti Can. p. 36, 2.

— ἐν addidi ex Epitome.

— Δείναρχος—τοὔνομα] ἔστι καὶ τοὔνομα παρὰ Καλλισθένει καὶ παρὰ τοῖς Ἀττικοῖς πολλάκις B.C.G.

5. κατὰ addidit Maussacus. Idem Καλλισθένους nomen, quod est in libris omnibus, in Δημοσθένους mutavit absurde. Nam quum in oratione contra Demosthenem μυλωθροῦ nomen semel tantum legatur p. 93, 8. Μένωνα τὸν μυλωθρὸν ἀπεκτείνατε, non poterat Dinarchus dici ea in oratione hoc vocabulo usus esse πολλάκις, quod convenit orationi contra Callisthenem, quam totam in re frumentaria versatam esse fragmenta docent ab Sauppio collecta p. 333.

7. Δημοσθένης] p. 344, 13.

9. δὲ] δὲ καὶ B.C.G.

— κοινῇ Ἀρκάδων πολιτείᾳ] κοινὴ cur inscripta fuerit ex præcedentibus verbis colligi potest. Similiter κοινὴ Θετταλῶν πολιτεία inscripta fuit, quam citat Harpocratio s. v. τετραρχία : quæ comparavit Mueller. Fragm. Hist. vol. 2. p. 151.

11. Δημοσθένης] p. 234, 14. ubi Μυρτηνόν, de quo v. quæ dixi in annotatione vol. 5. p. 318.

12. πρεσβύτερος] πρεσβύτης A.C. Ald.

— ἐν ζ' (ζω C.) codices. ἐν ὀγδόῃ Ald.

13. Φιλιππικοῖς Bekkerus. Libri φιλιππικῷ. Conf. s. v. ὁ κάτωθεν νόμος.

Μύρτις: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος καταλέγων τοὺς προδεδωκότας ἑκάστην πόλιν φησὶν "Ἀργείους Μύρτις, Τελέδαμος, "Μνασέας." Θεόπομπος δ' ἐν τῇ να' Πασέαν καὶ Ἀμυρταῖον ὀνομάζει τῶν Ἀργείων τοὺς μακεδονίζοντας. ἰδεῖν οὖν εἰ γραφικά ἐστιν ἁμαρτήματα.

Μυσῶν λείαν: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. παροιμία τίς ἐστιν οὕτω λεγομένη, ἥν φησι Δήμων ἐν α' περὶ παροιμιῶν τὴν ἀρχὴν λαβεῖν ἀπὸ τῶν καταδραμόντων ἀστυγειτόνων τε καὶ λῃστῶν τὴν Μυσίαν κατὰ τὴν Τηλέφου τοῦ βασιλέως ἀποδημίαν. κέχρηνται δὲ τῇ παροιμίᾳ ἄλλοι τε καὶ Στράττις ἐν Μηδείᾳ καὶ Σιμωνίδης ἐν ἰάμβοις.

N.

Naΐς: ἑταίρα τις· Λυσίας ἐν τῷ κατὰ Φιλωνίδου, εἰ γνήσιος, καὶ Ἀριστοφάνης Γηρυτάδῃ. μήποτε δὲ καὶ ἐν τῷ Πλούτῳ, ὅπου φησὶν ὁ κωμικὸς

ἐρᾷ δὲ Λαῒς οὐ διὰ σὲ Φιλωνίδου,

γραπτέον ἦν διὰ τοῦ ν Ναΐς.

1. ΜΥ'ΡΤΗΣ—Ἀργείους:— Μύρτης (in unam gl. hæc conjuncta ap. Suidam; disjuncta habet Phot.)—Μνασαίας (μνασέας Suidas et ab correctore Phot.)—Πασαίαν (sic etiam Suidæ codices. Πασέαν ed. Mediol. πασαία Phot. a pr. manu, πασέα a correctore) 6. ΜΥΣΩ^Ν ΛΕΙ'Α. παροιμία τίς ἐστιν λαβοῦσα τὴν ἀρχὴν ἀπὸ τῶν καταδραμόντων (κατὰ δρόμον τῶν primo scriptum in cod. Photii correxit librarius ipse. καταδρομῶν τῶν Suidas)—ἀποδημίαν:— 13. ΝΑΙ^Σ. ἑταίρα τις ἧς μέμνηται Λυσίας καὶ Ἀριστοφάνης:—

1. Δημοσθένης] p. 324, 10.
3. Μνασέας] μνασίας C. Ald.
— τῇ να'] τῇ πεντηκοστῇ πρώτῃ Ald. τῇ ᾱ A.
4. ἰδεῖν οὖν] εἰ δεῖν οὖν A. Fortasse ἰδεῖν οὖν δεῖ scribendum.
— ἐστι post ἁμαρτήματα A.B.
6. Δημοσθένης] p. 248, 23.
— ἐν τῷ om. A.
7. ἐστιν om. A.
— Δήμων] δημῶν Ald. δημοφῶν C. De Demone, proverbiorum interprete, dixit Schneidew. Præf. ad Parœmiogr. vol. 1. p. viii. Eodem, ut conjicere licet, loco de proverbio ἔσχατος Μυσῶν Demo dixerat: vid. schol. Eurip. Rhes. 244.
— ἐν α' B. ἐν α^ω C. G. ἐν πρώτῃ Favorinus s.v. Μυσῶν λεία. ἐν μ' A. ἐν τεσσαρακοστῇ Ald. qui numerus justo major est.
7. περὶ om. C.
9. κατὰ] μετὰ C.
— τὴν] τὴν τοῦ A. Ald.
— ἀποδημίαν:— B.
13—17. Hæc omnia Athenæo 13. p. 592 c. debet Harpocratio. Verba postrema e loco Athenæi Ald. sic interpolavit, γραπτέον ἦν διὰ τοῦ ν ναΐς, καὶ οὐ λαΐς, ὡς καὶ Ἀθήναιος ἐπισημαίνεται:—
14. Γηρυτάδῃ] Fragm. 230.
— Πλούτῳ] v. 179. ubi vide quæ dixi in annotatione vol. 3. p. 52.
16. οὐ Ald. οὐχὶ codices.
17. Delevi verba διὰ τὸν Φιλωνίδην, in libris post Naΐς addita. Naΐς post Φιλωνίδην habent B.C., om. G.

Νάννιον: Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν ἑταιρῶν Αἶγα λέγεσθαί φησι ταύτην τὴν ἑταίραν διὰ τὸ Θάλλον τὸν κάπηλον καταφαγεῖν· ὅτι γὰρ θαλλῷ χαίρουσιν αἱ αἶγες καὶ Σοφοκλῆς Ποιμέσιν

ἑωθινὸς γὰρ, πρίν τιν' αὐλιτῶν ὁρᾶν,
θαλλὸν χιμαίραις προσφέρων νεοσπάδα,
εἶδον στρατὸν στείχοντα παρ' ἀλίαν ἄκραν.

ἔστι δὲ αὐτῆς μνήμη καὶ ἐν τῇ κωμῳδίᾳ. Ἀντιφάνης δὲ ὁ νεώτερος ἐν τῷ περὶ τῶν ἑταιρῶν τὴν Νάννιόν φησι Προσκήνιον ἐπονομάζεσθαι διὰ τὸ ἔξωθεν δοκεῖν εὐμορφοτέραν εἶναι.

Ναύκληρος: Ὑπερείδης ἐν τῷ περὶ τοῦ ταρίχους οὐ μόνον ὡς ἡ συνήθεια χρῆται τῷ ὀνόματι, ἀλλὰ καὶ ἐπὶ τοῦ μεμισθωμένου ἐπὶ τῷ τὰ ἐνοίκια ἐκλέγειν ἢ οἰκίας ἢ συνοικίας, ὡς ὁ αὐτὸς ῥήτωρ δηλοῖ ἐν τῷ πρὸς Ἀριστογείτονα καὶ Σαννυρίων Γέλωτι καὶ Δίφιλος Ἐμπόρῳ.

1. Ὑπερείδης—γνήσιος om. 2. τῶν ἑταιρῶν] αἰγῶν ἑταιρῶν (τῶν ἑταιρῶν Phot. et Suidas, nisi quod apud Phot. hic et infra ἑταίρων)—φασὶν (φησὶν Phot. et Suidas)—Θαλὸν (Θαλλὸν Phot. et Suidas; θαλὸν Suidæ cod. Leid.)—καταφαγεῖν. χαίρουσιν γὰρ αἱ αἶγες τῷ θαλλῷ. ἔστιν δὲ αὐτῆς μνήμη καὶ ἐν τῇ κωμῳδίᾳ. Ἀντιφάνης—περὶ τῶν ἑταιρῶν—προσσκήνιον (duplici σ etiam Phot.)—εὐμορφωτέραν (sic etiam Phot.) εἶναι :— 11. ἐν—ταρίχους om. 12. χρῆται] κέχρηται ἐπὶ τῷ] ἐπὶ τὸ (ἐπὶ τῷ Phot. et Suidas) 13. συνοικίας :—

1—10. Hæc quoque ex Athenæo 13. p. 587. excerpsit Harpocratio.

2. τῷ] τῇ B.

3. Θάλλον] Libri Θαλλὸν falso accentu, quem correxit Sauppius Fragm. p. 297. egoque corrigere debebam apud Athenæum. Θάλλου nominis exempla ex inscr. ap. Boeckh. vol. 1. p. 320. 368. 370. indicavi in Thesauro.

— ὅτι pendet ab verbo δηλοῖ intellecto, p. 46, 10. 223, 8.

4. Σοφοκλῆς] Fragm. 445.

— Ποιμέσιν Maussacus ex Athenæo. πύλεσιν A.C. Ald. πύλαισιν B.

5. αὐλιτῶν Bekkerus. Legebatur αὐλητῶν, ut apud Athenæum.

6. χιμαίραις Bekkerus. Libri χιλίαις, nisi quod χίλια A. χιμαίρᾳ apud Athenæum.

— νεοσπάδα Casaubonus. Libri νεόπαιδα. Athenæi codex νεὸς παῖδα.

7. παρ' ἀλίαν C. et Athenæus. Ceteri παραλίαν.

— ἄκραν om. Ald.

8. ἔστι] ἔτι B.

— καὶ om. B.C.

9. τῶν om. B.C.

— Προσκήνιον Ald. προσκίνιον A. προσκύνιον B.C.

— ἐπονομάζεσθαι] ὀνομάζεσθαι B.C.

11. Ὑπερείδης] Ad locum Hyperidis respicit Lex. rhet. Cantabr. s. v. ναύκληρος p. 673, 20.

12. μεμισθωμένου] μισθουμένου C.

13. οἰκίας ἢ συνοικίας] οἰκίαν ἢ συνοικίαν Sauppius Fragm. p. 282. In numero plurali consentit Lex. rhet. Cantabr.

— ὁ om. B.

14. Ἐμπόρῳ Maussacus. ἐν πόρω A.C. ἐν πόρρῳ B. Ald.

— Σαννυρίων Maussacus. Libri σαννιρίων.

Ναυκραρικά: Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. μήποτε δὲ βέλτιον φέρεται ἐν τοῖς Ἀττικιανοῖς Ναυκρατιτικά, ἵν' ᾖ ἀπὸ Ναυκρατιτικοῦ πλοίου ἢ Ναυκρατιτῶν ἐμπλεόντων· ἡ γὰρ Ναύκρατις τὸ παλαιὸν ἐμπόριον ἦν τῆς Αἰγύπτου. ἐὰν δὲ ᾖ ναυκραρικὰ, εἴη ἂν τὰ τῶν ἀρχόντων· ναυκράρους γὰρ τὸ παλαιὸν τοὺς ἄρχοντας ἔλεγον, ὡς καὶ ἐν τῇ ε' Ἡρόδοτος δηλοῖ. Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ φησὶ "κατέστησαν δὲ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς "πρότερον ναυκράροις." [δήμους ἀντὶ τῶν ναυκραριῶν ἐποίησαν.]

Ναυτοδίκαι: Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην, εἰ γνήσιος ὁ λόγος. ἀρχή τις ἦν Ἀθήνησιν οἱ ναυτοδίκαι· Κρατερὸς γοῦν ἐν τῷ δ' τῶν Ψηφισμάτων φησὶν "ἐὰν δέ τις ἐξ ἀμφοῖν ξένοιν γεγονὼς "φρατρίζῃ, διώκειν εἶναι τῷ βουλομένῳ Ἀθηναίων, οἷς δίκαι εἰσὶ,

1. ΝΑΥΚΡΑΡΙΚΑ'] ναυκαρία D. ναυκραρία Phot. et Suidas. 2. ἐν] ἐπὶ D. ΝΑΥΚΡΑΤΗΤΙΚΑ' (sic etiam Phot. et Suidæ codex unus, ceteri ναυκρατικά), ἵνα ᾖ ἀπὸ ναυκρατητικοῦ πλοίου ἢ ναυκρατητῶν (sic etiam Phot.; ναυκρατιτικοῦ et ναυκρατιτῶν Suidas)—ἡ γὰρ Ναύκρατις (ναυκράτης T. Ναυκρατὶς Phot.) 4. εἴη ἂν τὰ τῶν] ἢ ἂν τὰ τῶν (ἢ ἀντ' αὐτῶν Phot.) 5. ὡς καὶ (καὶ om. Suidas) Ἡρόδοτος ἐν ε' ἱστοριῶν δηλοῖ:— 9. Λυσίας—ὁ λόγος om. 10. Κρατερὸς] καρτερὸς D. 12. φρατίζῃ, διώκειν δεῖ (τῷ add. Phot. et Suidas) βουλομένῳ Ἀθηναίῳ (ἀθηναίων libri plures Suidæ)

1. ΝΑΥΚΡΑΡΙΚΑ'] ναυκρατικά C.

— Δημοσθένης] p. 703, 15.

— δὲ addidi ex Epitome.

2. ἐν N. et Epitome. Ceteri ἐπί.

— ΝΑΥΚΡΑΤΙΤΙΚΑ' Suidas. ναυκρατητικὰ A. Ald. ναυκρατικὰ B.C.D.G.

— Ναυκρατιτικοῦ Suidas. ναυκρατητικοῦ A.N. ναυκρατικοῦ B.C.D. Ald.

3. Ναυκρατιτῶν Suidas. ναυκρατητῶν A.N. Ald. ναυκρατικῶν B.

— Ναύκρατις] ναυκράτις Ald.

6. καὶ om. B.

— τῇ ε'] τῇ ιε' vel τῇ ιε^η A.B.C. τῇ πεντεκαιδεκάτῃ Ald. Est 5, 71.

— Ἀριστοτέλης—φησὶ om. B.C.

8. πρότερον] προτέροις C.

9. Verba in libris sic scripta, δημίους (δημαίους A.) ἀντὶ τῶν ναυκράρων ἐποίησαν, delenda esse vidit Bekkerus, nisi quis cum Dobræo δήμους ἀντὶ ναυκραριῶν ποιήσαντες corrigi velit: quale quid Aristoteles haud dubie non hoc loco, sed in præcedentibus dixerat. Itaque servato ἐποίησαν satis habui δήμους et ναυκραριῶν corrigere. Verba ipsa si sunt Aristotelis, ante κατέστησαν collocanda esse liquet, sed ita ut alia nonnulla inter ἐποίησαν et κατέστησαν intercessisse putentur. Nam si conjuncta hæc fuissent, καὶ κατέστησαν potius exspectes quam κατέστησαν δὲ—.

10. ἦν om. B.

— Κρατερὸς] καρτερὸς A.

— τῷ om. B.C.

11. δ'] δ^η C. τετάρτῳ Ald.

12. φρατρίζῃ] Hanc formam verbi annotavit Steph. Byz. s. v. φρατρία. φρατίζῃ Ald.

— εἶναι om. A. Ald.

— οἷς δίκαι εἰσὶ] Dicitur quidem ejusmodi in legibus γραφέσθω Ἀθηναίων ὁ βουλόμενος οἷς ἔξεστι, cujus loco fortasse dici potest οἷς δίκαιόν ἐστι, sed non οἷς δίκαι εἰσίν. Exciderunt verba aliquot hunc fere in modum, διώκειν εἶναι Ἀθηναίων τῷ

" λαγχάνειν δὲ τῇ ἕνῃ καὶ νέᾳ πρὸς τοὺς ναυτοδίκας." Ἀριστοφάνης Δαιταλεῦσιν "ἐθέλω βάψας πρὸς ναυτοδίκας ξένον ἐξαίφνης ⏑⏑——."

Νεαλής: Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος, εἰ γνήσιος. ὁ νεωστὶ ἑαλωκὼς οὕτως ἐλέγετο κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ἰχθύων.

Νεβρίζων: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. οἱ μὲν ὡς τοῦ τελοῦντος νεβρίδα ἐνημμένου ἢ καὶ τοὺς τελουμένους διαζωννύντος νεβρίσιν, οἱ δὲ ἐπὶ τοῦ νεβροὺς διασπᾶν κατά τινα ἄρρητον λόγον. ἔστι δὲ ὁ νεβρισμὸς καὶ παρὰ Ἀριγνώτῃ ἐν τῷ περὶ τῶν τελετῶν.

Νεήλατα: Δημοσθένης ὑπὲρ Κτησιφῶντος κατ' ἔλλειψιν ἀντὶ τοῦ νεήλατα ἄλφιτα, τὰ νεωστὶ ἀληλεσμένα, ἃ δὴ μέλιτι ἀναδεύοντες, ἀσταφίδας τε καὶ χλωροὺς ἐρεβίνθους ἐπεμβάλλοντες, τοῖς τὰ ἱερὰ τελοῦσιν ἔνεμον. ἐκάλουν δὲ αὐτὰ οἱ μὲν ἀμβροσίαν, οἱ δὲ μακαρίαν.

Νεμεὰς Χαράδρα: Αἰσχίνης περὶ τῆς πρεσβείας. οὕτω τόπος

1. Ἀριστοφάνης—ἐξαίφνης om. 3. Δ.—Ἀριστογείτονος om. Totam gl. om. Phot. et Suidas substitutis aliis. 4. οὕτως] καὶ οὕτως 5. ἐν τῷ om. 6. ἐνειμένου (ἐνιμένου T.), εἶ (ἢ Phot.) καὶ διαζωννύντος νεβρίσιν ἐπὶ τὸ νεβροὺς (τῷ νεβροὺς Phot. et Suidas, nisi quod codex Photii non τῷ, sed solum τ habet) διασπᾶν—λόγον:— 10. Hanc gl. habet Phot., om. Suidas, substituta simili, quæ ei communis est cum Photio. 11. ἀληλεσμένα] ἐληλισμένα T. ἀληλισμένα Phot. et superscripto ε D. 12. τε] δὲ 15. ΝΕΜΕΆΣ (νεμέα aliquot libri Suidæ) X. τόπος τις οὕτως

βουλομένῳ οἷς ἔξεστιν, ἐν τοῖς ναυτοδίκαις· οἷς δὲ δίκαι εἰσὶ πρὸς τοὺς ξένους (ἐμπόρους), λαγχάνειν τῇ ἕνῃ καὶ νέᾳ πρὸς τοὺς ναυτοδίκας. MEIER. de bonis damn. p. 95. Post Meierum de hoc psepbismate dixerunt Schœmann. de lite Att. p. 83. et Meinek. ad Steph. Byz. p. 717. Plebiscitum a Cratero exscriptum ad alterum tantum nautodicarum munus, de peregrinitate judicandi, pertinuisse videtur Sauppio Fragm. p. 174.

1. τῇ] ἐν τῇ B.C.

2. Ἀριστοφάνης] Fragm. 16.

— βάψας] βλάψας B.C.

— ξένον Dobræus. ξένην libri.

3. Indicavi lacunam. ἀποφῆναι addidit Dobræus, σ' ἐπιδεῖξαι probabilius Sanppius Fragm. p. 174.

3. Δημοσθένης] p. 788, 22.

5. Δημοσθένης] p. 313, 16.

6. διαζωννύντος] διαζωννύων C.

7. οἱ δὲ additum ex N.

— διασπᾶν N. et Epitome. Legebatur ἐκδιασπᾶν, verbum nusquam alibi inventum.

8. τῶν om. B.C.

10. Δημοσθένης] p. 314, 1.

11. τὰ om. B.C. ἀντὶ τοῦ et τὰ om. D.

— δὴ] δὴ καὶ B

— ἐπεμβάλλοντες] ἐπεμβαλόντες A. D. Ald.

12. ΝΕΜΕΑ'Σ] Scribebatur Νεμέας. Correxi ex Æschine p. 50, 36. qui Νεμεάδα Χαράδραν dixit.

15. πρεσβείας] παραπρεσβείας C. Ald.

τις ἐκαλεῖτο ἐν Πελοποννήσῳ· "πλησίον τῆς Νεμεάδος Χαράδρας" Ἔφορος ἐν κγ΄.

Νεμέας αὐλητρίδος μνημονεύει Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. ὁ δὲ Πολέμων ἐν τοῖς περὶ τῆς ἀκροπόλεως παρατίθεται ψήφισμα καθ' ὃ ἀπείρητο Ἀθήνησιν ὄνομα πεντετηρίδος τίθεσθαι δούλῃ ἢ ἀπελευθέρᾳ ἢ πόρνῃ ἢ αὐλητρίδι· ἄξιον οὖν ἀπορῆσαι πῶς οὕτως ὠνομάζετο ἡ αὐλητρίς.

Νεμέσεια: Δημοσθένης ἐν τῷ κατὰ Σπουδίου. μήποτε ἑορτή τις ἦν Νεμέσεως, καθ' ἣν τοῖς κατοιχομένοις ἐπετέλουν τὰ νομιζόμενα.

Νέων: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. περὶ τῆς πρὸς Φίλιππον τούτου φιλίας Θεόπομπος ἐν β΄ Φιλιππικῶν ἱστορεῖ.

Νεώρια καὶ νεώσοικοι: μήποτε νεώρια λέγεται ὁ τόπος ἅπας εἰς ὃν ἀνέλκονται αἱ τριήρεις καὶ πάλιν ἐξ αὐτοῦ καθέλκονται, ὡς ὑποσημαίνουσι Λυκοῦργός τε ἐν ἀπολογισμῷ ὧν πεπολίτευται καὶ Ἀνδοκίδης ἐν τῷ περὶ τῆς εἰρήνης, εἰ γνήσιος ὁ λόγος.

Νεῶσι: Δημοσθένης κατ' Αἰσχίνου. πόλις ἐστὶν ἐν τῇ Φωκίδι, ἣν Ἡρόδοτος μὲν ἐν η΄ Νεῶνα ὀνομάζει, Ἀνδροτίων δ' ἐν ϛ΄ Ἀτθίδος Νεῶνας.

1. πλησίον—κγ΄ om. 3. ΝΕΜΈΑΣ] Novæ gl. initium, quam ante præcedentem ponit Suidas. ἐν τῷ—γνήσιος om. Phot. 4. γνήσιος :— 8. ΝΕΜΈΣΙΑ 12. φιλίας φησίν :— 15. Λυκοῦργός τε καὶ Ἀνδοκίδης :— 17. ΝΕΏΣΙ] νεώσι E.T. νεώσει Phot. 18. Νεῶνα] νεώνα E.T. Νέωνα Phot. 19. Νεῶνας] νεώνας E.T.

1. Νεμεάδος Sauppius Fragm. p. 297. Legebatur Νεμέας.

3. ΝΕΜΈΑΣ—] Hæc vulgo cum præcedentibus conjuncta. Novam gl. recte incipit Epitome. Debet autem hæc Harpocratio Athenæo 13. p. 587.

8. ΝΕΜΈΣΕΙΑ] νεμέσια B. νεμέσεα C.

— Δημοσθένης] p. 1031, 13.

11. ΝΈΩΝ ex Epitome pro Νεών. Recto accentu apud Demosth. p. 324, 13.

12. τούτου] τοῦτον A. Ald., om. C.

— β΄] βω C. δευτέρᾳ Ald.

13. ΝΕΏΡΙΑ καὶ ΝΕΏΣΟΙΚΟΙ] De his dixit Boeckh. Œc. vol. 3. p. 64.

13. ὁ om. B.

15. τε om. B.C.

16. Ἀνδοκίδης] p. 24, 21.

— τῆς om. A.

17. ΝΕΏΣΙ] νεῶσι A.C.G. νεώη Ald. Apud Demosth. p. 387, 9. Νέωσι.

— Δ. κατ' Αἰσχίνου om. B.C., sed B. Δ. ἐν τῷ κατ' αἰσχίνου habet infra post Νεῶνας.

— ἐστὶν] δὲ C.

— Φωκίδι] τρωάδι B.

18. ἐν η΄] c. 32. 33. ubi Νέωνα.

Νίκαια: Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. ἔστι δὲ πόλις τῆς Λοκρίδος ἐπιθαλαττίδιος.

Νικάνωρ: Ὑπερείδης ἐν τῷ κατὰ Δημοσθένους. τρεῖς γεγόνασι Νικάνορες, ὁ μὲν υἱὸς Βαλάκρου, ἕτερος δὲ Παρμενίωνος υἱός, ἄλλος δὲ Σταγειρίτης τὸ γένος, οὗ μνημονεύοι ἂν νῦν ὁ ῥήτωρ.

Νίκη Ἀθηνᾶ: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ὅτι δὲ Νίκης Ἀθηνᾶς ξόανον ἄπτερον, ἔχον ἐν μὲν τῇ δεξιᾷ ῥόαν, ἐν δὲ τῇ εὐωνύμῳ κράνος, ἐτιμᾶτο παρ' Ἀθηναίοις δεδήλωκεν Ἡλιόδωρος ὁ περιηγητὴς ἐν α' περὶ ἀκροπόλεως.

Νοθεῖα: τὰ τοῖς νόθοις ἐκ τῶν πατρῴων διδόμενα οὕτω καλεῖται, ἦν δὲ μέχρι χιλίων δραχμῶν· Λυσίας ἐν τῷ πρὸς Καλλιφάνη ξενίας, εἰ γνήσιος, Ἰσαῖος πρὸς Λυσίβιον περὶ ἐπικλήρου. Ἀριστοφάνης Ὄρνισι

τί δ' ἦν ὁ πατὴρ ἐμοὶ διδῷ τὰ χρήματα
τὰ νοθεῖ' ἀποθνήσκων; ὁ νόμος αὐτὸν οὐκ ἐᾷ.

τίνων δ' οὐκ ἐξῆν τοῖς νόθοις μετέχειν δεδήλωκεν Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρας β'. Δημοσθένης δ' ἐν τῷ κατ' Ἀριστοκράτους φησὶν ὡς εἰς τὸ Κυνόσαργες ἐτέλουν.

Νομοφύλακες: ἀρχή τις παρ' Ἀθηναίοις οὕτως ἐκαλεῖτο, διαφέρουσα τῶν θεσμοθετῶν· Δείναρχος καθ' Ἱμεραίου καὶ ἐν τῷ κατὰ

1. περὶ τῆς πρεσβείας] παρὰ τῆς πρεσβείας (περὶ τῆς παραπρεσβείας Phot. et Suidas) 3. Ὑ.—Δημοσθένους om. 4. υἱὸς post Παρμενίωνος om. 5. οὗ καὶ Ὑπερίδης μνημονεύει ἐν τῷ κατὰ Δημοσθένους:— 8. κράνος] κράτος (κράνος Suidas) 10. ΝΟΘΕΙΑ (νοθεία Suidas. νόθια Phot.)—οὕτως (οὕτω Suidas) 11. χιλίων (χιλιῶν D.) δραχμῶν. οὕτως (οὕτω Phot. et Suidas) Λυσίας καὶ Ἰσαῖος καὶ Ἀριστοφάνης καὶ Ὑπερίδης καὶ Δ. ἐν τῷ κατὰ Ἀριστοκράτους:— 20. θεσμοθετῶν, οἵτινες τὰς ἀρχὰς—χρῆσθαι:—

1. Αἰσχίνης] p. 45, 33.
— πρεσβείας] παραπρεσβείας Ald.
5. μνημονεύοι ἂν νῦν] -νεύει νῦν C.
6. δὲ additum ex Epitome.
7. ῥόαν] ῥοὰν Ald. ῥοιὰν C.
8. κράνος ex Suida. Libri κράτος.
— ἐτιμᾶτο παρὰ N. ἐτιμᾶτο. ὅτι δὲ ἐτιμᾶτο παρ' ceteri.
— παρ'] παρὰ τοῖς N.
9. ἐν α'] ἐν τῇ πρώτῃ Ald. ἐν πρώτῳ Epitome. περὶ om. A.B.C.
11. Καλλιφάνη] καλλιφάνους B.C. καλλιφάνην P.Q.
12. γνήσιος:— C.
— Ἰσαῖος additum ex Epitome. Lacuna est in A.B.P.Q. Ald.
13. Ὄρνισι] v. 1655.
16. Delevi τε in libris post Ὑπερίδης lectum. Eo servato lacunam post Ἀρισταγόρας β' indicavit Sauppius p. 192.
17. Ἀρισταγόρας] ἀρισταγόρου P.Q. Ald.
— Δημοσθένης] p. 691, 19.
18. εἰς Sauppius p. 192. καὶ libri. καὶ εἰς Valesius.
20. Ἱμεραίου Maussacus. ἡμεραίου libri, nisi quod ἡμερέου B.

Πυθέου. Φιλόχορος δὲ ἐν τῷ ζ΄ ἄλλα τέ τινα διεξῆλθε περὶ αὐτῶν καὶ ὅτι οὗτοι τὰς ἀρχὰς ἐπηνάγκαζον τοῖς νόμοις χρῆσθαι.

Νότιον: Λυσίας κατὰ Μαντίου. ὅτι δέ ἐστι χωρίον προκείμενον τῆς Κολοφωνίων πόλεως Θεόπομπος ἐν τῇ ιε΄ φησίν.

Νύμφαιον: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντός φησι "Νύμφαιον τὸ ἐν τῷ Πόντῳ." Κρατερὸς δὲ ἐν θ΄ τῶν Ψηφισμάτων φησὶν ὅτι Ἀθηναίοις τὸ Νύμφαιον ἐτέλει τάλαντον.

Ξ.

Ξενίζειν: Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει πολλάκις. ἔνιοι μὲν οἷον ξένῃ διαλέκτῳ χρῆσθαι, τάχα δ' ἂν εἴη μᾶλλον τὸ ἐν τῇ ξένῃ διατρίβειν.

Ξενικὸν ἐν Κορίνθῳ: Δημοσθένης Φιλιππικοῖς καὶ Ἀριστοφάνης Πλούτῳ. συνεστήσατο δ' αὐτὸ πρῶτον Κόνων, παρέλαβε δ' αὐτὸ Ἰφικράτης ὕστερον καὶ Χαβρίας· ᾧ χρησάμενοι τὴν Λακεδαιμονίων μόραν κατέκοψαν στρατηγοῦντος αὐτοῖς Ἰφικράτους καὶ Καλλίου, καθά φησιν Ἀνδροτίων τε καὶ Φιλόχορος.

×Ξενιτευόμενος: ἀντὶ τοῦ μισθοφοροῦντας, ξένοι δὲ οἱ μισθοφόροι· Ἰσοκράτης Φιλίππῳ κἂν τινι τῶν πρὸς Φίλιππον ἐπιστολῶν. Ἀντιφάνης Εὐθυδίκῳ

ἐγὼ ξενιτευόμενος ἐστρατευόμην.

3. Λυσίας—δέ ἐστι om. 4. πόλεως :— 5. ΝΥ΄ΜΦΑΙΟΝ (Νυμφαῖον Phot. hic et mox). ἐν τῷ Πόντῳ ἐστὶν τὸ Νύμφαιον καὶ φησὶ Κρατερὸς ἐν θ΄ τῶν ψ. ὅτι Ἀθηναίοις ἐ. τάλαντον :— 9. ΞΕΝΙ΄ΖΕΙΝ. οἱ μὲν ξ. δ. χρῆσθαι, οἱ δὲ ἐν τῇ ξένῃ διατρίβειν :— 12. ἐν φιλιππικοῖς D. 13. Πλούτῳ om. πρῶτον] ᾱ E.T. πρῶτος Suidas (πρῶτον Photius) 14. ᾧ χρησάμενος—μοῖραν—κατέκοψεν (χρησάμενοι et κατέκοψαν Suidas) 15. καὶ Καλλικλέους :— 17. ξένοι—ἐπιστολῶν om.

1. δὲ additum ex C.N.
2. ὅτι om. B.C.
— οὗτοι] οὗτοι μὲν P.Q.
— χρῆσθαι C.N. et Epitome. χρῆσθαι δῆλον A.B.P.Q. Ald.
3. δέ additum ex B.C.
4—7. Θεόπομπος—τάλαντον om. P.
4. ιε΄] ιε̄ πέμπτῃ A. πεντεκαιδεκάτῃ Ald.
5. Αἰσχίνης] p. 78, 15. De Nymphæo dixit Boeckh. Œc. vol. 2. p. 658.
6. τὸ ex Æschine restitutum pro τε (δὲ C.).
6. τῷ om. C.
— θ΄] θῳ C. ἐννάτῃ Ald.
7. τάλαντον] τὸ τάλαντον A.
9. Δημοσθένης] p. 1304, 6. 11.
10. τάχα Valesius. Libri τἆλλα.
12. Δημοσθένης] p. 46, 25.
13. Πλούτῳ] v. 173.
15. μόραν Bekkerus, μοῖραν libri.
16. τε om. C.
18. Φιλίππῳ (libri φιλιππικῷ, quod correxit Bekkerus)] p. 107 a.
— ἐπιστολῶν] p. 410 c.
19. Ἀντιφάνης] δ' addit C.

Ξηραλοιφεῖν: Αἰσχίνης κατὰ Τιμάρχου. ξηραλοιφεῖν ἔλεγον τὸ χωρὶς λουτρῶν ἀλείφεσθαι, ὡς Δίδυμος ἐν κη´ Τραγικῆς λέξεως καὶ Νίκανδρος ἐν ιη´ Ἀττικῆς διαλέκτου, προστιθεὶς ὅτι μήποτε καὶ τὸ ὑπὸ τῶν ἀλειπτῶν λεγόμενον ξηροτριβεῖσθαι οὕτως ἐλέγετο. Σοφοκλῆς Πηλεῖ

καὶ ξηραλοιφῶν εἵματος διὰ πτυχῶν.

Ξυπεταίονες: Ὑπερείδης κατ' Ἀρχεστρατίδου. δῆμος τῆς Κεκροπίδος Ξυπέτη, ἀφ' ἧς ὁ δημότης Ξυπεταίων, ὡς Διόδωρος.

Ξυστίς: Λυσίας ἐν τῷ πρὸς Νικόδημον καὶ Κριτόβουλον. γυναικεῖόν τι ἔνδυμά ἐστιν ἡ ξυστὶς πεποικιλμένον, ὡς δῆλον ποιοῦσιν ἄλλοι τε τῶν κωμικῶν καὶ Ἀντιφάνης ἐν Εὐπλοίᾳ

τὸν ποικίλ' ὥσπερ ξυστίδ' ἠμφιεσμένον.

2. ἀλείφεσθαι. μήποτε δὲ καὶ (μήποτε et reliqua om. Suidæ codex A. 4. ξηροτρίβεσθαι οὕτως ἐλέγετο:— 7. ΞΥΠΕΤΑΙΩ´ΝΕΣ (Ξυπεταίωνες Phot. Ξυπεταιωνεύς Suidas). δῆμος τῆς Κεκροπίδος (φυλῆς add. Phot.) Ξυπέται (Ξυπεταιή Phot. Ξυπεταίη Suidas), ἀφ' ἧς ὁ δημότης Ξυπεταίων (ξυπαιταιὼν D. Ξυπεταιών Phot. et Suidas):— 9. Λ.—Κριτόβουλον om. Totam gl. omisit Suidas substitutis aliis. Utrasque habet Photius. 10. ἡ ξυστὶς om. 11. Εὐπλοίᾳ. ἔστι μέντοι καὶ τραγικόν

1—6. De his P. nihil habet præter verba ξηραλοιφεῖν ἐλέγετο τὸ χωρὶς λουτρῶν ἀλείφεσθαι.

1. Αἰσχίνης] p. 19, 25.

— ἔλεγον τὸ Epitome. Libri ἐλέγετο.

3. ὅτι om. C.N.

4. ξηροτριβεῖσθαι] ξηροτρίβεσθαι libri. Rectam verbi formam, qua utitur Hesychius, restituit Lobeck. ad Phryn. p. 572.

5. Σοφοκλῆς] Fragm. 437.

7. ΞΥΠΕΤΑΙ´ΟΝΕΣ] ξυπεταίων C. ξυπετάλων B. ξυπετέωνες Q. In Epitome Ξυπεταιῶνες. In inscriptionibus ΞΥΠΕΤΑΙΩΝ cum genitivo ΞΥΠΕΤΑΙΟΝΟΣ reperitur. Ξυπετεών ut Μακεδών ponit Steph. Byz. Dixit de his formis L. Dindorfius in Thesauro vol. 5. p. 1689. et Meier. apud Rossium de demis p. 128.

— Ὑπερείδης κατ' Ἀ. et mox ἀφ' ἧς—Διόδωρος om. P.

8. Ξυπέτη] Dubitatur utrum sic, an Ξυπετή, an Ξυπετῆ contractum e Ξυπετέα scribi oporteat: v. L. Dindorfium l. c.

— ἀφ' ἧς] V. quæ s. v. Λουσιεύς diximus.

— Ξυπεταίων] ξυπετάλων B.

9. ΞΥΣΤΙ´Σ] Veteres Atticos ξύστις pronunciasse παροξυτόνως annotarunt grammatici, de quo dictum in Thesauro s. h. v.

— Νικόδημον] δημόνικον C.

10. ἔστι ante τι C.

11. Antiphanis verba om. B.P. Post Εὐπλοίᾳ est lacuna in Q.

12. τὸν ποικίλ' ὥσπερ ξυστίδ'] Legebatur ὥσπερ ξυστίδα ὥσπερ τὸ ποικίλον. Correxit Sauppius Fragm. p. 201. τὸ ποικίλον ἠμφιεσμένον A. Q. τῷ (cum asterisco ante τῷ) ποικίλον ἠμφιεσμένῳ Ald. τὸ ποικίλως ὑφασμένον B.C. Alia tentavit Dobræus Advers. vol. 1. p. 588.

ἔστι μὲν καὶ τραγικόν τι ἔνδυμα οὕτω καλούμενον, ὡς Κρατῖνος ἐν Ὥραις, ἔστι δὲ καὶ ἱππικὸν ἔνδυμα, ὡς Ἀριστοφάνης Νεφέλαις.

Ο.

Ὀβολοστατοῖ: *ἀντὶ τοῦ δανείζοι Λυσίας ἐν τῷ κατὰ Νικίδου, εἰ γνήσιος. ἐν δὲ τῷ πρὸς Λακράτην διασαφῶν φησὶν "οὐδ' ἂν εἰ "πολὺ ἐλάττονα τόκον λογίσαιτό τις ἢ ὅσον οὗτοι οἱ ὀβολοστατοῦντες "τοὺς ἄλλους πράττονται." ὀβολοστάτας δ' ἔλεγον τοὺς δανειστάς, ὡς παρά τε Ὑπερείδῃ ἐν τῷ κατὰ Πολυεύκτου καὶ πολλάκις ἐν τῇ κωμῳδίᾳ.*

Ὀδός: *Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους φησὶν "ἢ ἐν ὁδῷ "καθελών" ἀντὶ τοῦ ἐν λόχῳ καὶ ἐνέδρᾳ. τοιοῦτον δὲ εἶναι καὶ τὸ Ὁμηρικόν φασιν "ἢ ὁδὸν ἐλθέμεναι." εἰ δὲ ψιλωθείη ἡ προτέρα, σημαίνει τὸν βαθμόν, ὡς παρὰ Λυσίᾳ ἐν τῷ κατὰ Φιλίππου, εἰ γνήσιος ὁ λόγος.*

Ὀθνεῖος: *Ἰσαῖος ἐν τῷ κατὰ Στρατοκλέους ἀντὶ τοῦ ἀλλότριος, ὡς καὶ παρὰ Πλάτωνι ἐν α' Νόμων.*

2. ἐν Νεφέλαις] ἐν φίλαις (ἐν φυλαῖς Phot., φ in litura.) 5. 'ΟΒΟΛΟΣΤΑΤΟΙ~] Sic etiam apud Phot.; ὀβολοστατεῖ Suidas. δανείζοι] δανείζει Suidas. ἐν τῷ—φησὶν om. 6. εἰ πολὺ] οἱ πολλοὶ οὗτοι ὀβολοστατοῦντες Phot. et Suidas. οὗτοι οἱ βολοστατοῦντες (sic) E.T.D. 8. πράττονται. ἔλεγον δὲ τοὺς (τοὺς recte om. Phot. et Suidas) ὀβολοστάτας τοὺς δανειστὰς ὡς Ὑπερίδης καὶ ἡ κωμῳδία :— 11. φησὶν om. 12. τοιοῦτον δὲ καὶ τὸ Ὁμηρικόν, ἢ ὁδὸν 13. ἡ προτέρα συλλαβὴ—βαθμόν :— 16. 'ΟΘΝΕΓΟΣ. ὁ ἀλλότριος, ὡς Ἰσαῖος καὶ Πλάτων :— Totam gl. om. Suidas. Verba Ἰσαῖος καὶ Πλάτων Photius alii glossæ adjunxit, quæ ei communis est cum Suida.

1. μὲν] δὲ C., om. P.

2. οὕτω καλούμενον et mox ἔστι δὲ om. P.

— Νεφέλαις (v. 71.) Valesius. ἐν φιάλαις A.P.Q. Ald. ἐν φυάλαις B.C. ἐν φίλαις Epitome.

5. 'ΟΒΟΛΟΣΤΑΤΟΓ—δανείζοι ex Epitome pro ὀβολοστατεῖ—δανείζει.

—κατὰ om. B.C. Verba ἐν τῷ—διασαφῶν φησιν om. P.

— Νικίδου] νικίου C.

6. Λακράτην] κράτην Q.

7. οἱ om. A.P.Q. Ald., habent B.C.

8. ὁ. δ'] καὶ ὁ. P.

9. ὡς παρὰ—κωμῳδίᾳ om. P.

11. Locum Demosthenis (p. 637.) attigit Harpocratio supra s.v. ἢ ἐν ὁδῷ καθελών et s.v. καθελών.

13. Ὁμηρικὸν] Iliad. 1, 151. Verba Homeri om. C.

— εἰ δὲ ψιλωθείη] De hoc non cogitandum.

— ἡ προτέρα om. P.

14. εἰ γνήσιος ὁ λόγος om. P.

16. κατὰ Στρατοκλέους] κατ' ἀριστοκράτους P.

17. ἐν (τῷ add. B.C.) α'] p. 629 e.

— Νόμων] τῶν νόμων B.

Οἴηθεν: Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου. δῆμος τῆς Πανδιονίδος ἡ Οἴη, ὡς Διόδωρος· Οἴηθεν δὲ ἀπὸ τόπου ἐπίρρημα. Φιλόχορος δ' ἐν τῇ γ' τὴν Οἴην Κεφάλου μὲν θυγατέρα, Χάροπος δὲ γυναῖκα ἱστορεῖ.

Οἰκέως: Λυσίας ἐν τῷ κατὰ Θεομνήστου ὥσπερ ἐξηγούμενος τοὔνομα φησὶ "τὸ δὲ οἰκέως θεράποντος."

Οἴκημα: ἀντὶ τοῦ δεσμωτήριον Δείναρχος ἐν Τυρρηνικῷ καὶ ἐν τῷ κατὰ Ποσειδίππου, ἀντὶ δὲ τοῦ πορνεῖον Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου.

Οἰκίσκοι: ἀντὶ τοῦ μικρῷ τινι οἴκῳ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἐκάλουν δὲ οἱ Ἀττικοὶ τὸ ὑφ' ἡμῶν λεγόμενον ὀρνιθοτροφεῖον οἰκίσκον· Ἀριστοφάνης Πελαργοῖς, Μεταγένης Αὔραις. ἐκ τούτων δ' ἔοικε πλανώμενος ὁ Δίδυμος καὶ τὸ Δημοσθενικὸν ἐξηγεῖσθαι.

Οἰνηΐς: Ὑπερείδης ἐν τῷ πρὸς Ἀριστογείτονα. μία τῶν δέκα φυλῶν παρ' Ἀθηναίοις.

1. ΟἸΉΘΕΝ (Οἴηθεν Phot.). δῆμος Πανδιονίδος (πανδιώνιδος T.) ἡ Οἴη. καὶ τὸ Οἴηθεν (οἰηθέν T. Οἰῆθεν Suidas) τοπικὸν ἐπίρρημα 2. Φιλόχορος δὲ τὴν Οἴην φησὶν Κεφάλου μὲν θυγατέρα εἶναι, Χαρωποῦ (χαροποῦ D. et Phot. Suidæ codices partim sic, partim Χαρόπου) δὲ γυναῖκα οἰκέως :— Post quod οἰκέως Epitome pergit ad οἴκημα. Plane eodem modo hæc scripta repererunt Photius et Suidas, qui quum viderent οἰκέως alius glossæ initium esse, solum illud lemma οἰκέως Lexicis suis inseruerunt, Photius post gl οἰκογενές p. 319, 6. ante οἴκημα, Suidas inter glossas οἴκαδε et οἰκέται, ubi interpolator aliquis defectum supplere studuit additis post οἰκέως verbis ἀπ' εὐθείας τῆς οἰκεύς, ἤγουν οἰκέτης, quibus caret liber Parisinus optimus. 6. ἐν Τυρρηνικῷ—Ποσειδίππου om. 7. Αἰσχίνης :— 9. τινὶ οἴκῳ. Δ. ἐν τῷ περὶ (ὑπὲρ libri Suidæ deteriores) 12. ὀρνίθων τροφεῖον (ὀρνιθοτροφεῖον Suidas) οἰκίσκον :— 13. ΟἸΝΗΐΣ (οἰνίης Phot. et Suidæ codices). μία τῶν

1. Ἰσαῖος—Ἐλπαγόρου om. P. et mox verba Οἴηθεν—ἱστορεῖ.

2. Οἴη] De hoc pago dixit Sauppius in comment. de demis urbanis p. 8.

— ἀπὸ τόπου] ἐν τόπῳ A.P. Ald.

4. ΟἸΚΈΩΣ] οἰκέας B.C.

— Λυσίας] p. 117, 41.

— Θεομνήστου] θεοπόμπου B.C.

— ὥσπερ (ὥσπερ om. C.) ἐξηγούμενος] Legebatur ἐξηγούμενος ὥσπερ.

5. τοὔνομα P. Scribebatur τὸ ὄνομα.

— τὸ δὲ] τόδε A.

— οἰκέως] οἰκέος B.C.

6. Δείναρχος om. Q.

6. Τυρρηνικῷ Valesius pro τυραννικῷ.

7. Ποσειδίππου] ποσιδίππου B.C. Ald.

— Αἰσχίνης] p. 11, 3.

— ἐν τῷ om. P.

9. οἴκῳ] οἰκήματι B.C.G.

— Δημοσθένης] p. 258, 21.

— ἐν τῷ om. A.B.

11. Ἀριστοφάνης] Fragm. 385. Ἀριστοφάνης—ἐξηγεῖσθαι om. P.

12. καὶ om. C.

13. δέκα om. B.C.

14. φυλῶν] φυλοκῶν C.

— Ἀθηναίοις Epitome. Libri ἀθηναίοις ἦν.

Οἰνόη καὶ Οἰναῖος: Ὑπερείδης ἐν τῷ πρὸς Ἀριστογείτονα "καὶ ἔφασαν ἐν Οἰνόῃ ἀκοῦσαι ὅτι μάχη εἴη γεγονυῖα." Οἰνόη δῆμος τῆς Ἱπποθωντίδος πρὸς Ἐλευθέραις, ὁ δὲ τῆς Αἰαντίδος πρὸς Μαραθῶνι· ἀφ' ἑκατέρου δὲ τῶν δήμων ὁ δημότης Οἰναῖος καλεῖται. μνημονεύοι δ' ἂν νῦν ὁ ῥήτωρ τοῦ πρὸς Ἐλευθέραις, οὗ καὶ Θουκυδίδης ἐν τῇ β'.

Οἶον: Ἰσαῖος ἐν τῷ περὶ τῆς ποιήσεως. δῆμοί εἰσιν ἐν τῇ Ἀττικῇ διττοὶ οὐδετέρως λεγόμενοι, καλοῦνται δὲ Οἶον. κεκλῆσθαι δέ φησιν οὕτω Φιλόχορος ἐν τῇ γ' διὰ τὸ μηδαμῶς οἰκητὸν τόπον ἔχειν, ἀλλὰ μεμονῶσθαι· τὸ γὰρ μόνον οἶον ἐκάλουν οἱ ἀρχαῖοι. ἔστι δὲ τὸ μὲν Κεραμεικὸν Οἶον τῆς Λεοντίδος φυλῆς, τὸ δὲ Δεκελεικὸν τῆς Ἱπποθωντίδος, ὡς Διόδωρος. οἱ δὲ δημόται ἑκατέρωθεν ἐλέγοντο ἐξ Οἴου. ἄλλοι δ' ἦσαν οἱ λεγόμενοι Οἴηθεν, ὡς προείρηται.

Οἶος εἶ καὶ οἷός τε εἶ: τὸ μὲν χωρὶς τοῦ τέ σημαίνει τὸ βούλει καὶ προήρησαι, τὸ δὲ σὺν τῷ τέ τὸ δύνασαι. ἀμφοτέροις ἐχρήσατο Λυσίας ἐν τῷ κατὰ Λυσιθέου, εἰ γνήσιος.

1. ΟἸΝΟ'Η καὶ ΟἸΝΕ'ΩΣ (οἱ νεώς Τ.). δῆμος τῆς Ἱπποθοοντίδος καὶ ἕτερος τῆς Αἰαντίδος. λέγεται δὲ ὁ μὲν τῆς Ἱπποθοοντίδος πρὸς Ἐλευσίναις (sic), ὁ δὲ τῆς Αἰαντίδος πρὸς Μαραθῶνα. (δῆμος τῆς Ἱπποθοοντίδος πρὸς Ἐλευσίνας, ὁ δὲ τῆς Αἰαντίδος—Μαραθῶνα Phot. et Suidas, nisi quod Suidas Ἐλευθέραις pro Ἐλευσίνας et Ἱπποθοωντίδος). ἀφ' ἑκατέρων δὲ τῶν δήμων ὁ δημότης Οἰνέως:— 7. Ἰσαῖος—ποιήσεως om. 8. λεγόμενοι. καλεῖσθαι δέ φασιν (αὐτοὺς add. Phot. et Suidas) οὕτω διὰ τὸ 12. Ἱπποθοωντίδος (Ἱπποθοοντίδος Phot.), οἱ δὲ δημόται 15. προείρησαι (sic etiam Phot. προήρησαι Suidas)—ἀμφοτέροις δὲ Λυσίας ἐχρήσατο:—

1. ΟἸΝΟ'Η Epitome. οἰναίη A. οἰναιὴ B.C. οἰνέη Ald.

— ΟἸΝΑΓΟΣ] οἰνέος A. quod alludit ad Epitomes scripturam Οἰνέως. Recta forma Οἰναῖος est, de qua constat ex inscriptionibus: v. Ross. de demis p. 129.

2. καὶ om. B.

— ἔφασαν] Loquitur orator de iis qui primum nuncium pugnæ Chæronensis Athenas attulerant, ut conjicit Sauppius Fragm. p. 282.

— ἐν Οἰνόῃ] ἐν οἰνέῃ A. Ald. ἐν οἰναίῃ B.C.

3. Ἱπποθωντίδος Sauppius. Scribebatur Ἱπποθοωντίδος hic et infra.

— δὲ om. B.C.

6. ἐν τῇ (τῇ om. C.) β'] c. 18.

7. ΟἸ'ΟΝ] οἷον A.B. Ald. hic et infra.

— τῆς om. C.

8. καλοῦνται δὲ delet Valesius.

— δέ post κεκλῆσθαι addidi ex N., qui κεκλῆσθαι δὲ οὕτω φησὶν ὁ Φιλόχορος.

9. τῇ (τῇ om. B.C.) γ' Muellerus Fragm. Hist. vol. 1. p. 396. Libri τῇ ιγ' (ιγ^{ω} C. τρισκαιδεκάτῃ Ald.) Philochorum libro tertio de demorum originibus exposuisse alii Harpocrationis loci docent.

— μηδαμῶς] οὐδαμῶς B.

— οἰκητὸν Epitome. οἰκιστὸν B. C.G. εὐοίκητον A.Q. Ald.

10. δὲ om. B.C.

15. βούλει] βούλεσθαι B.C.G.

— προήρησαι Ald. προείρηται

Οἰσύμη: Ἀντιφῶν ἐν τῷ κατὰ Λαισποδίου. πόλις ἐστὶ τῆς Θράκης, καθά φασιν ἄλλοι τε καὶ Ἔφορος ἐν δ΄.

Ὅτι διαμαρτάνει Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας λέγων Πλαταιέας γεγράφθαι ἐν τῇ Ποικίλῃ στοᾷ· οὐδεὶς γὰρ τοῦτο εἴρηκεν, ὥσπερ οὐδὲ Κρατερὸς ἐν τῇ τῶν ψηφισμάτων συναγωγῇ.

Ὁ κάτωθεν νόμος: Δημοσθένης ἐν τῷ κατ᾽ Ἀριστοκράτους. Δίδυμος "ἤτοι" φησὶ "τὴν ἡλιαίαν λέγει ὁ ῥήτωρ διὰ τὸ τῶν δικαστηρίων τὰ μὲν ἄνω, τὰ δὲ κάτω ὀνομάζεσθαι, ἢ διὰ τὸ σχῆμα τῆς ἐν τοῖς ἄξοσι γραφῆς βουστροφηδὸν γεγραμμένης τὸν ἀπὸ τῶν εὐωνύμων ἀρχόμενον νόμον κάτωθεν ὀνομάζει ὁ Δημοσθένης· ὅτι γάρ" φησι "βουστροφηδὸν ἦσαν οἱ ἄξονες καὶ οἱ κύρβεις γεγραμμένοι δεδήλωκεν Εὐφορίων ἐν τῷ Ἀπολλοδώρῳ. ἢ ἐπεί" φησι "τοὺς ἄξονας καὶ τοὺς κύρβεις ἄνωθεν ἐκ τῆς ἀκροπόλεως εἰς τὸ βουλευτήριον καὶ τὴν ἀγορὰν μετέστησεν Ἐφιάλτης, ὥς φησιν Ἀναξιμένης ἐν Φιλιππικοῖς."

1. ΟΙΣΥΜΗ. πόλις τῆς Θράκης :— 1. 2. om. D. 3.—5. om. Suidas, post glossam proximam habet Epitome usque ad verbum εἴρηκεν, in quo etiam Photius desinit. 3. Πλαταιέας] πλατεαίας T. 6. Ἀριστοκράτους. ἢ τὴν ἡλιαίαν λέγει διὰ τὸ 9 τὸν ἀπὸ] ἢ ἀπὸ 10. ἀρχομένων νόμων Phot. 15. Φιλιππικοῖς D. Φιλιππικῷ ceteri.

(corruptum ex πρυείρησαι, quod est in Epitome) A.N. προαιρεῖσθαι B. C.G.

P. 219, 15. δύνασαι Ald. et Epitome. δύνασθαι A.B.C.N

16. γνήσιος] ὁ λόγος addit A.

P. 220, 1, Λαισποδίου] λαισπουδίου C. et, ut opinor, B. λεσπουδίου A. Ald.

2. δ΄] τρίτῃ Ald.

3. Δημοσθένης] p. 1377, 8.

— Πλαταιέας] πλαταιαῖς A.C. πλατεαῖς B. Ald. πλατεέας N. Platæensibus Athenienses post pugnam Marathoniam leviores tantum honores, velut coronam auream, proedriam et quæ sunt similia, decrevisse conjicit Meinek. ad Steph. Byz. p. 716. Ampliora fuerunt quæ undecim annis post propter fortitudinem in prœlio Platæensi præstitam in eos collata esse præmia constat.

6. Δημοσθένης] p. 629, 16.

9. τὸν ἀπὸ Valesius. ἢ τὸν ἀπὸ libri.

10. ὁ om. B.

12. ἐπεὶ] ἐπειδὴ N.

13. τοὺς ἄξονας—Ἐφιάλτης] Cum his pugnare videtur quod Pollux 8, 128. tradidit, οἵ τε κύρβεις καὶ οἱ ἄξονες ἐν ἀκροπόλει πάλαι, αὖθις δ᾽ ἵνα πᾶσιν ἐξῇν ἐντυγχάνειν εἰς τὸ πρυτανεῖον καὶ τὴν ἀγορὰν μετεκομίσθησαν. Quæ Meiero in Comment. de Vita Lycurgi p. xcvii. sic videntur conciliari posse ut aut leges alias in curiam alias in prytaneum, aut omnes ab Ephialta quidem in curiam, postea vero in prytaneum delatas esse dicas, aut quod prytaneum ab curia non longe abfuerit, perinde dici statuas in prytaneum atque in curiam deferri.

— ἐκ additum ex Epitome.

15. Φιλιππικοῖς ex Epitome pro Φιλιππικῷ. Idem librorum vitium notavimus s. v. Μύρτανον.

Ὅτι ἑξακισχίλια ἦν τάλαντα τὸ τίμημα τῆς Ἀττικῆς. Δημοσθένης ἐν τῷ περὶ τῶν συμμοριῶν φησὶν οὕτως "ἡμῖν δὲ τὸ τῆς "χώρας τίμημα ὑπάρχειν ἀφορμὴν ὀκτακισχίλια τάλαντα ἀκού-"σεται." ἤτοι οὖν γραφικὸν ἁμάρτημά ἐστιν, ἢ ἴσως ὁ ῥήτωρ συναρπάζει, ἵνα δοκῇ πλείω τὴν ἀφορμὴν ἔχειν ἡ πόλις εἰς τὸν πρὸς βασιλέα πόλεμον. ὅτι γὰρ ἑξακισχίλια τάλαντα ἦν τὸ τίμημα τῆς Ἀττικῆς καὶ λυθέντος ἐν τοῖς ἑξῆς τοῦ λόγου φησὶν, λογισμὸν αὐτῶν διδοὺς ποικίλως, καὶ Φιλόχορος ἐν ι' Ἀτθίδος.

Ὀλιγωρήσετε: *ἀντὶ τοῦ ἀμελήσετε Δημοσθένης Φιλιππικοῖς. ὀλιγωρεῖν γὰρ λέγεται τὸ ὀλίγην ὥραν ἔχειν· ἔστι δὲ τὸ ὀλίγην ἀντὶ τοῦ οὐδὲ ὀλίγην, ὡς ἐν τῷ*

ἢ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς,

ὥρα δ' ἐστὶν ἡ φροντίς.

Ὁλοσχοῖνοι: *Αἰσχίνης ἐν τῷ περὶ πρεσβείας. Θεόφραστος δ' ἐν δ' περὶ φυτῶν, εἰπὼν τοῦ σχοίνου τρία εἴδη εἶναι, φησὶν ὡς ὁ τρίτος μεγέθει καὶ εὐσαρκίᾳ διαφέρων ὁλόσχοινος καλεῖται.*

1—8. om. Suidas. 1. *Δημοσθένης δὲ ἐν τῷ περὶ τῶν* (*τῶν* om. Phot.) *συμμοριῶν* 2. *φησὶν*] *δὴ φησὶν* T. *δὲ τὸ τῆς*] *δὲ τῆς* 3. *ὀκτ.*] *τὰ ὀκτ.* 4. *ἤτοι*] *εἴ τι* T. *ἁ. ἐστιν*] *ἐστιν ἁ.* 5. *δοκεῖ* (*δοκῇ* Phot.) *πλεῖον* 6. *πόλεμον*:— 9. ὈΛΙΓΩΡΉΣΕΤΑΙ—*ἀμελήσεται* 10. *ὥραν* et infra *ὥρα* (libri Suidæ plerique *ὤραν* et *ὤρα*) 13. *δ' ἐστιν ἡ*] *δὲ ἡ* 14. ὉΛΟΣΧΟΊΝΩΙ] *ὁλοσχοίνων* Phot. *περὶ τῆς παραπρεσβείας. Θεόφραστος δὲ τρία εἴδη σχοίνου φησὶν, ὧν ὁ τρίτος* (sic D. Phot. et Suidas. *ὃν τρίτος* E.T.)

1. ὍΤΙ *τὸ τίμημα τῆς ἀττικῆς ἑξακισχίλια ἦν τάλαντα* C. Comparanda cum his quæ s. v. *τίμημα* dixit Harpocratio et locus Polybii 2, 62., de quibus nuper disputavit Bakius Schol. Hypomn. vol. 4. p. 120. 148.

— *Δημοσθένης*] p. 186.

2. *περὶ*] *ὑπὲρ* B.C.

— *τῶν* om. C.

4. *ἤτοι*] *ἤ τι* B.

5. *συναρπάζει*] Id est *συναρπάζει τοὺς ἀκούοντας* vel *τὸν ἀκροατὴν*, ut loquuntur scholiastæ Demosthenis p. 6, 16. 8, 13. 417, 21. 680, 22. Iidem *συναρπάζειν τὸν δῆμον* p. 124, 3. et *συναρπάζειν ὡς ὁμολογούμενον* p. 7, 16.

7. *καὶ λυθέντος*] *λεληθότως* N. *καὶ αὖθις* Dobræus.

8. *αὐτῶν—ποικίλως*] *αὐτοῖς—ποικίλον* B.C.

9. *Δημοσθένης*] p. 14, 10.

10. *ἔστι δὲ*] *καὶ ἔστι* C. *ἔστι* B.

11. *ἐν τῷ*] Homeri Il. 5, 800.

14. ὉΛΟΣΧΟΊΝΩΙ Epitome. *ὁλοεχίνους* libri.

— *Αἰσχίνης*] p. 31, 5.

— *πρεσβείας*] *τῆς παραπρεσβείας* Ald.

— *δ'* om. B.C.

— *ἐν δ'*] c. 12, 1.

15. *φυτῶν* Maussacus. *αὐτῶν* libri.

— *σχοίνου* Epitome. *ἐχίνου* A. B.C. *αἰσχίνου* Ald.

— *φησὶν*] *φασιν* Ald.

— *ὡς* Bekkerus. *ὧν* libri.

16. *μεγέθει* Epitome. *τῷ μεγέθει* libri.

— *ὁλόσχοινος* Epitome. *ὁλοέχινος* libri.

Ὁμηρεύοντας: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ἐπὶ τῶν ἀναπεμφθέντων Λακεδαιμονίων Ἀλεξάνδρῳ. Κλείταρχος δέ φησιν ἐν τῇ ε´ ν´ εἶναι τοὺς δοθέντας παρὰ τῶν Λακεδαιμονίων ὁμήρους. ὅμηροι δέ εἰσιν οἱ ἐπὶ συμβάσει διδόμενοι· ὁμηρῆσαι γὰρ τὸ συμβαλεῖν· Ὅμηρος

ὡμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ἐλθών.

Θεόπομπος δὲ ὁμηρεῖν φησὶ παρὰ τοῖς ἀρχαίοις λέγεσθαι τὸ ἀκολουθεῖν· τοὺς οὖν ἐπ' ἀκολουθίᾳ τῶν ὁμολογουμένων διδομένους ἐντεῦθεν ὁμήρους φησὶ λέγεσθαι.

Ὁμηρίδαι: Ἰσοκράτης Ἑλένῃ. Ὁμηρίδαι γένος ἐν Χίῳ, ὅπερ Ἀκουσίλαος ἐν γ´, Ἑλλάνικος ἐν τῇ Ἀτλαντιάδι ἀπὸ τοῦ ποιητοῦ φησιν ὠνομάσθαι. Σέλευκος δὲ ἐν β´ περὶ βίων ἁμαρτάνειν φησὶ Κράτητα νομίζοντα ἐν ταῖς Ἱεροποιίαις Ὁμηρίδας ἀπογόνους εἶναι τοῦ ποιητοῦ· ὠνομάσθησαν γὰρ ἀπὸ τῶν ὁμήρων, ἐπεὶ αἱ γυναῖκές ποτε τῶν Χίων ἐν Διονυσίοις παραφρονήσασαι εἰς μάχην ἦλθον τοῖς ἀνδράσι, καὶ δόντες ἀλλήλοις ὅμηρα νυμφίους καὶ νύμφας ἐπαύσαντο, ὧν τοὺς ἀπογόνους Ὁμηρίδας λέγουσιν.

Ὁμοερκές: Δείναρχος ἐν τῷ πρὸς τὴν Καλλίππου παραγραφὴν ἀντὶ τοῦ ὑφ' ἓν ἕρκος, τουτέστιν ὑπὸ τὸν αὐτὸν περίβολον.

Ὁμόσε ἰέναι: Ὑπερείδης ἐν τῷ κατ' Ἀθηνογένους φησὶν "ἀλλὰ "ὁμόσε βούλομαι τῷ λόγῳ τούτῳ ἐλθεῖν" ἀντὶ τοῦ παραβαλέσθαι.

2. ἄνω πεμφθέντων Suidas. Ἀλεξάνδρῳ. ἦσαν δὲ ν´. ὅμηροι δέ εἰσιν 4. ὅμηροι δέ—] Hæc Suidas alii glossæ adjunxit s. v. ὅμηρον. ὁμηρῶσαι γὰρ τὸ συμβαλεῖν. Θεόπομπος 7. ἀρχαίοις] ἀχαιοῖς E.T. et Phot. λέγεσθαι post φησὶ habet Phot. 10. Ἰσοκράτης—Ὁμηρίδαι om. ὅπερ—ἀπὸ τῶν] ἀπὸ τοῦ ποιητοῦ ὠνομασμένον. οἱ δὲ φασὶν (ἄλλοι δέ φασιν Suidas) ἁμαρτάνειν τοὺς οὕτω νομίζοντας. ὀνομᾶσθαι (ὠνομάσθαι D. et Suidas. ὀνομάζεσθαι Phot.) 18. ἐν—παραγραφὴν om. 20. Ὑπερείδης—ἐλθεῖν om. 21. παραβαλέσθαι] παραβάλλεσθαι Phot.

1. Αἰσχίνης] p. 72, 35.
2. Ἀλεξάνδρῳ Epitome. ὁμήρους Ἀλεξάνδρῳ libri.
3. ν´ supplevi ex verbis Epitomes.
— εἶναι] ἐν ᾗ B.C.G.
— τῶν om. B.
4. ὁμηρῆσαι Blancardus. ὁμηρῶσαι libri.
— γὰρ τὸ om. C.
5. Ὅμηρος] Od. 16, 468.
6. ὡμήρησε] ὡμήρωσε C.
7. ἀρχαίοις ex Suida pro Ἀχαιοῖς.
8. ἀκολουθίᾳ] ἀκολουθεία A.
— ἐντεῦθεν om. C.
10. Ἰσοκράτης] p. 218 e.
11. Ἀτλαντιάδι] ἀγλαντιάδι B. Ald.
12. βίων] βίον A. τὸν βίον B.
13. ἐν ταῖς Ἱεροποιίαις] V. quæ s. v. προκώνια dicentur.
— ἀ. εἶναι] εἶναι ἀ. B.
15. ἐν] ἐν τοῖς C.
16. δόντες] διδόντες B.
18. ἐν τῷ—παραγραφὴν] ἐν τῇ—παραγραφῇ A. Ald.

λέγεται δὲ ἐκ μεταφορᾶς τοῦ ὁμόσε ταῖς λόγχαις ἰέναι, ἀντὶ τοῦ ἐξ ἐναντίας εἰς τὸ αὐτὸ ἔρχεσθαι καὶ μὴ στρέφεσθαι μηδὲ φεύγειν.

Ὁμοῦ: Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονός φησιν "εἰσὶν "ὁμοῦ δισμύριοι πάντες Ἀθηναῖοι" ἀντὶ τοῦ ἐγγύς. ἔστι δὲ πολὺ παρ' Ἀττικοῖς. καὶ Μένανδρός που "ἤδη γάρ ἐστι τοῦ τίκτειν "ὁμοῦ."

Ὀνήτωρ: Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. πρὸς τοῦτον ἂν εἶεν οἱ γεγραμμένοι Δημοσθένει περὶ τῆς ἐξούλης λόγοι. ὅτι δὲ τῶν χορηγησάντων ἦν Ἡλιόδωρος περὶ τῶν Ἀθήνησι τριπόδων.

Ὀνομάζων: ἀντὶ τοῦ φράζων, ἑρμηνείᾳ χρώμενος, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Ὀξυθύμια: Ὑπερείδης ἐν τῷ κατὰ Δημάδου φησὶ "περὶ οὗ "πολλῷ ἂν δικαιότερον ἐν τοῖς ὀξυθυμίοις ἡ στήλη σταθείη ἢ ἐν τοῖς "ἡμετέροις ἱεροῖς." ἔνιοι μὲν, ὧν ἐστι καὶ Ἀρίσταρχος, ὀξυθύμια λέγεσθαί φασι τὰ ξύλα ἀφ' ὧν ἀπάγχονταί τινες, ἀπὸ τοῦ ὀξέως τῷ θυμῷ χρῆσθαι· ταῦτα δ' ἐκκόπτοντες ἐξορίζουσι καὶ καίουσι. Δίδυ-

1. τοῦ prius om. 3. 'ΟΜΟΥ̑—] Habet hanc gl. Photius, omisit Suidas substituta alia multo copiosiore, quæ ipsa quoque apud Photium legitur. 3. Ἀριστογείτονος ὁμοῦ φησὶν δισμύριοι (Ἀριστογείτονος φησὶν, ὁμοῦ δισμύριοι Phot.) 4. ἔστι δὲ τοῦτο πολὺ 5. ἤδη τοῦ τίκτειν γὰρ ὁμοῦ (ἤδη γὰρ τοῦ τίκτειν ὁμοῦ Phot.) 7. 'ΟΝΗ'ΤΩΡ. πρὸς ὃν Δημοσθένης ἔγραψεν τοὺς ἐξούλης λόγους. εἷς δὲ ἦν τῶν χορηγησάντων, οὗ καὶ Ἰσοκράτης ἐν τῷ περὶ (τῆς add. D.) ἀντιδόσεως μέμνηται:— 11. ἐν τῷ om. Suidas, ἐν τῷ ὑπὲρ Κτ. om. Phot. 12. 'ΟΞΥΘΥΜΙ'Α (ὀξυθύμια Phot. et Suidas) 13. ὀξυθύμοις 14. ὀξυθυμία (ὀξυθύμια Phot. et Suidas) 15. τὰ om. D.

1. τοῦ ante ὁμόσε additum ex N.

2. καὶ μὴ] τὸ δὲ B.C.

3. Δημοσθένης] p. 785, 23.

— εἰσὶν om. C.

7. Ἰσοκράτης] p. 442. §. 9. ed. Bekk. Oxon.

8. οἱ om. B.

— Δημοσθένει Bekkerus. δημοσθένους libri.

— περὶ] ἐν τῷ περὶ B.C.

9. ἦν εἷς Ald., quod Epitomes auctor legisse videtur. ἦν cum lacuna A., sine lacuna B.C. ὅτι ἦν pendet ab verbo δηλοῖ intellecto.

— Ἀθήνησι Bekkerus. ἐν ἀθήνησι libri.

— τριπόδων] Tripodes intelligendi ab victoribus ludorum musicorum dedicati: de quibus dixit Boeckh. Corp. Inscr. vol. 1. p. 342.

10. Δημοσθένης] p. 237, 12. οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειότητας ἔφη βεβαιοῦν, μάλα σεμνῶς ὀνομάζων, ἀλλὰ τὸ ταὐτὰ συμφέρειν.

13. ἡ στήλη] Loquitur de decreto proxeniæ Euthycrati tributæ. Quæ decreta lapidibus inscripta in templis proponi solita sunt: v. Meier. in dissert. de proxenia p. 24. 25. Boehneck. Quæst. de orat. Atticis p. 680. SAUPP. Fragm. p. 288.

14. μὲν] μὲν οὖν N.

15. φασι τὰ ξ.] τὰ ξ. φασὶν B.

— ἀπὸ] ἀντὶ C.

16. δ' ἐκκόπτοντες] δὲ κόπτοντες C.

μος δὲ Αὐτοκλείδου λέξιν παραγράψας ἐκ τῶν ἐξηγητικῶν φησιν, ὀξυθύμια τὰ καθάρματα λέγεται καὶ ἀπολύματα· ταῦτα γὰρ ἀποφέρεσθαι εἰς τὰς τριόδους, ὅταν τὰς οἰκίας καθαίρωσιν. ἐν δὲ τῷ ὑπομνήματι τῷ κατὰ Δημάδου τὰ ἐν ταῖς τριόδοις φησὶν Ἑκαταῖα, ὅπου τὰ καθάρσια ἔφερόν τινες, ἃ ὀξυθύμια καλεῖται. Εὔπολις *Δήμοις*

> *ὃν χρῆν ἔν τε ταῖς τριόδοις κἀν τοῖς ὀξυθυμίοις*
> *προστρόπαιον τῆς πόλεως κάεσθαι τετριγότα.*

ἔστι τοὔνομα καὶ παρὰ Πυθέᾳ ἐν τῷ κατὰ Ἀδειμάντου.

Ὀπισθόδομος: *Δημοσθένης ἐν τῷ περὶ συντάξεως "ἀνέῳξαν "δήπου πρώην τινὲς τὸν ὀπισθόδομον." ὁ οἶκος ὁ ὄπισθεν τοῦ νεὼ τῆς Ἀθηνᾶς οὕτω καλεῖται, ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα.*

Ὀργάς: *Δημοσθένης ἐν τῷ περὶ συντάξεως. ὀργὰς καλεῖται τὰ λοχμώδη καὶ ὀρεινὰ χωρία καὶ οὐκ ἐπεργαζόμενα, ὅθεν καὶ ἡ Μεγαρικὴ ὀργὰς προσωνομάσθη τοιαύτη τις οὖσα, περὶ ἧς ἐπολέμησαν Ἀθηναῖοι Μεγαρεῦσιν.*

Ὀργεῶνας: *Ἰσαίου λόγος ἐστὶ πρὸς ὀργεῶνας, ὀργεῶνες δ' εἰσὶν οἱ ἐπὶ τιμῇ θεῶν ἢ ἡρώων συνιόντες· ὀργιάζειν γάρ ἐστι τὸ θύειν καὶ*

1. *Αὐτοκλείδου—ἐξηγητικῶν* om. 2. *λέγεσθαι* 3. *καθαίρωσιν:—* 10. Glossam similem substituit Suidas. 11. *ὁ οἶκος—καλεῖται*] *ἐκαλεῖτο δὲ οὕτως ὁ ὄπισθεν τοῦ νεὼ τῆς Ἀθηνᾶς οἶκος, ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα:—* 13. *Δημοσθένης—καλεῖται* om., habet D. *ὀργὰς κ.*] *οὕτω κ.* D. 15. *οὖσα:—* 17. *ἐστὶ πρὸς*] *ἐστὶν εἰς*

1. *ἐξηγητικῶν*] *ἐξηγητῶν* B.C.

3. *εἰς*] *ἐς* B.

4. *τῷ κατὰ*] *εἰς τὸν κατὰ* Maussacus. Fortasse *τῷ εἰς τὸν κατὰ* scribendum, nisi brevior illa loquendi ratio placuit grammatico.

— *τριόδοις*] *διόδοις* B.

— *Ἑκαταῖα, ὅπου* Valesius. Libri *ἑκαταῖος* (*ἑκαταῖα* affertur ex O.) *ποῦ* vel, quod est in Ald., *ἑκαταῖός που.*

7. *τε* addidit Porsonus Advers. p. 286.

— *ταῖς*] *τοῖς* B., om. C.

— *τοῖς*] *τοῖσιν* A.C. Ald.

8. *προστρόπαιον* Valesius. *πρὸς τὸ τρόπαιον* libri, quæ verba B. a m. rec. habet. Metrum versuum est quod grammatici Eupolideum vocant.

8. *κάεσθαι* Bekkerus. Libri *καίεσθαι.*

— *τετριγότα* Porsonus. *περιτετριγότα* A.C.G. Ald. *περιτετριγότα* B.

9. *Ἀδειμάντου* Ruhnk. ad Rutil. p. 41. Legebatur *Ἀδείμαντος.*

10. *Δημοσθένης*] p. 170, 6.

— *συντάξεως* Epitome. Libri *τῆς συντάξεως.*

12. *ἀπετίθεντο*] *ἀπετίθουν* A.

13. In margine hujus glossæ adscriptum in N. *ὄχετος δῆμος τῆς λεοντίδος.* Quod fictum ex p. 231, 5.

— *Δημοσθένης*] p. 175, 13.

14. *ὀρεινὰ*] *ὀχληρὰ* C.

— *ἡ* om. C.

15. *ἐπολέμησαν Ἀθηναῖοι* N. Ceteri *ἐπολέμησεν Ἀθηνᾶ.*

17. *Ἰσαίου*] *ἰσαῖος οὗ* C.

τὰ νομιζόμενα δρᾶν, ἤτοι παρὰ τὸ ὀρέγειν τὼ χεῖρε, ἢ παρὰ τὰ ὄργια, ἢ διὰ τὸ ἐν ταῖς ὀργάσι καὶ τοῖς ἄλσεσι τὰ ἱερὰ δρᾶν. οἱ μέντοι ποιηταὶ ἔταττον τοὔνομα ἁπλῶς ἐπὶ τῶν ἱερέων, ὡς Ἀντίμαχός τέ που καὶ Αἰσχύλος ἐν Μυσοῖς. μήποτε δὲ ὕστερον νενόμισται τὸ ἐπὶ τιμῇ τινὰς τῶν ἀποθανόντων συνιέναι καὶ ὀργεῶνας ὁμοίως ὠνομάσθαι, ὡς ἔστι συνιδεῖν ἐκ τῶν Θεοφράστου διαθηκῶν.

Ὀργέων: ἀντὶ τοῦ ὀργεώνων Λυσίας ἐν τῷ περὶ τοῦ Θεοπόμπου κλήρου.

Ὀρικὰ ζεύγη: τὰ τῶν ὀρέων, τουτέστι τῶν ἡμιόνων, Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας· ὅτι γὰρ ὀρέας ἐκάλουν τὰς ἡμιόνους καὶ Ὅμηρος καὶ Ἀριστοφάνης ἐν Βατράχοις δηλοῖ.

Ὀριγνηθῆναι: ἀντὶ τοῦ ἐπιθυμῆσαι Ἀντιφῶν Ἀληθείας α΄.

Ὀρκάνη: Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος β΄. μήποτε ὁ φραγμὸς, τουτέστι τὸ περίφραγμα καὶ ἡ αἱμασιὰ, οὕτω καλεῖται, παρὰ τὸ ἐρύκειν ἢ παρὰ τὸ ἕρκος εἶναι. Ὅμηρος

αἱμασιὰς λέξαντες ἀλωῆς ἔμμεναι ἕρκος.

Ὀρνιθευτής: ὁ ὀρνιθοθήρας· Δείναρχος κατὰ Προξένου, Πλάτων

1. δρᾶν] ὁρᾶν ἤτοι] ἢ 2. δρᾶν] δραμεῖν (δρᾶν Phot. et Suidas) 3. ὡς—Μυσοῖς om. 5. ὀργεῶνας ὀνομάζεσθαι. 7. Λυσίας :— Gl. om. Phot. 9. ἡμιόνων :— 12. ἐπιθυμῆσαι :— 13. ἐν τῷ om. β΄ om. D. 14. οὕτως 16. αἱμασιὰς] ἐν μασίαις (αἱμασιὰς Phot. et Suidas) E.T. 17. ὀρνιθοθήρας :—

1. δρᾶν Valesius. Libri ὁρᾶν, in quo vitio non solum Epitome, sed etiam Moschopulus Σχεδ. p. 77. consentit.

— ἤτοι—δρᾶν om. B.

2. τοῖς ἄλσεσι] ταῖς ἄλσεσι A. Ald.

— ἄλσεσι] ἕλεσι N.

3. ἔταττον] καὶ ἔταττον A.

— Ἀντίμαχος] Antimachi Æschylique versus Photius in alia de voc. ὀργεῶνες glossa servavit, quam repetivit Suidas.

— τέ που] πού φησι B.C.

4. Αἰσχύλος] Fragm. 142.

— Μυσοῖς] μύσταις B.C. Ald. et fortasse A. Μυσοῖς primus posuit Blancardus.

6. Θεοφράστου διαθηκῶν] Servavit Diog. L. 5, 54. ubi ὀργεώνων nomen excidisse conjiciebat Salmasius: v. Menag. ad h. l.

7. 8. om. C.

7. τοῦ addidit Sauppius Fragm. p. 189.

8. κλήρου] κλήρῳ B. Ald.

9. τουτέστι Epitome. τουτέστι τὰ libri.

— Αἰσχίνης] p. 42, 36. 64, 30.

10. πρεσβείας] παραπρεσβείας Ald.

11. Ὅμηρος] Qui οὐρῆας dixit Il. 1, 50. et alibi.

— Βατράχοις] v. 290.

12. ὈΡΙΓΝΗΘΗ͂ΝΑΙ] ὀριγνησθῆναι A. Ald.

13. ὁ] καὶ ὁ B.C.

15. εἶναι additum ex Epitome.

— Ὅμηρος] Od. 24, 224.

17. ὁ om. B.C.

— κατὰ] ἐν τῷ κατὰ B.C.

ἡ Κάνθαρος Συμμαχίᾳ. ἔστι δὲ καὶ ἐν τῇ νέᾳ κωμῳδίᾳ δρᾶμα Ὀρνιθευτὴς Νικοστράτου.

Ὅρος: οὕτως ἐκάλουν οἱ Ἀττικοὶ τὰ ἐπόντα ταῖς ὑποκειμέναις οἰκίαις καὶ χωρίοις γράμματα, δηλοῦντα ὅτι ὑπόκεινται δανειστῇ· Δημοσθένης ἐν τῷ πρὸς Σπουδίαν καὶ Μένανδρος Παρακαταθήκῃ.

Ὅρον: σκεῦός τι γεωργικὸν, ὡς Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους ὑποσημαίνει. μήποτε μέντοι τὸ ὅρον παρά τε Αἰσχύλῳ ἐν Κερκύονι καὶ παρὰ Μενάνδρῳ ἐν β' Ἐπικλήρῳ σημαίνει ξύλον τι, ᾧ τὴν πεπατημένην σταφυλὴν πιέζουσιν.

Ὀρρωδεῖν: ἀντὶ τοῦ φοβεῖσθαι Ἀνδοκίδης ἐν τῷ περὶ τῆς ἀδείας. πολὺ δ' ἐστὶ τοὔνομα παρ' αὐτοῖς. Ὀρρωδία δὲ τὸ δέος· Δημοσθένης ἐν δημηγορικοῖς προοιμίοις.

Ὄρυγμα: ἰδίως οὕτως ἐκαλεῖτο ἐφ' οὗ οἱ κακοῦργοι ἐκολάζοντο Ἀθήνησι· Λυκοῦργος κατ' Ἀριστογείτονος.

Ὅσιον: Ὑπερείδης ἐν τῷ πρὸς Ἀριστογείτονά φησι "καὶ τὰ "χρήματα τά τε ἱερὰ καὶ τὰ ὅσια," ὅ τε Ἰσοκράτης Ἀρεοπαγιτικῷ "καὶ τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις." ὅτι δὲ τὰ ὅσια τὰ δημόσια δηλοῖ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους σαφῶς διδάσκει περὶ τούτων·

4. δηλοῦντα] ἃ ἐδήλου 5. οὕτως Δημοσθένης καὶ Μένανδρος :— 6. ὡς Ἰσαῖος δηλοῖ. μήποτε μέντοι τὸ 7. Αἰσχύλῳ καὶ παρὰ Μενάνδρῳ ξύλον τι σημαίνει 8. ᾧ] ὃ E.T.D. 10. φοβεῖσθαι. καὶ ὀρρωδία τὸ δέος :— Duas alias gl. habent Phot. et Suidas. 13. ἐκολάζοντο :— 16. ὅσια καὶ Ἰσοκράτης, τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις, τὰ δημόσια ὅσια λέγοντες. καὶ Δημοσθένης δὲ ἐν τῷ κατὰ Τιμοκράτους σαφῶς διδάσκει τοῦτο. Δίδυμος δέ φησι διχῶς λέγεσθαι τὸ ὅσιον—ἰδιωτικόν :—

1. δὲ om. B.

4. χωρίοις γράμματα Epitome. Libri χωρὶς γράμμα, quod est in A., vel χωρὶς γραμμάτων ut B.C., vel χωρὶς γράμματος Ald. ὅρος χωρίου est in titulis ap. Boeckh. Corp. Inscr. vol. 1. p. 484. 485, ut monet Bekkerus.

5. Δημοσθένης] p. 1029, 27.

6. ὍΡΟΝ] ὅρος B. ὄρος N.

— ὡς om. C.

7. τὸ] τὸν B. καὶ τὸν C.

— ὅρον] ὅρος N.

— Αἰσχύλῳ] Fragm. 105.

— Κερκύονι Salmasius. κεραυνῶνι libri, quod ex κερκύωνι corruptum, ut nomen hoc plerumque in codicibus scribitur.

8. β'] δευτέρῳ Ald. Debebat δευτέρᾳ.

— Ἐπικλήρῳ] ἐπικλήρων C.

— ᾧ] ὃ C.

10. Ἀνδοκίδης] p. 20, 30.

11. Δημοσθένης] ὡς δημοσθένης A.

13. ἐφ' οὗ] ἀφ' οὗ C. ὅπου Sauppius Fragm. p. 260. qui de hoc loco dixit in dissert. de demis urbanis p. 18.

16. Ἰσοκράτης] p. 153 b.

18. Δημοσθένης] p. 738, 7. κλέπται καὶ ἱερόσυλοί εἰσι, τὰ μὲν ἱερὰ—

— περὶ] ἐπὶ Ald.

“καὶ τὰ μὲν ἱερὰ, τὰς δεκάτας τῆς θεοῦ καὶ τὰς πεντηκοστὰς τῶν “ἄλλων θεῶν, σεσυληκότες” καὶ μετ᾽ ὀλίγα “τὰ δὲ ὅσια ἃ ἐγίνετο “ἡμέτερα κεκλοφότες.” Δίδυμος δὲ “διχῶς” φησὶν “ἔλεγον τὸ “ὅσιον, τό τε ἱερὸν καὶ τὸ ἰδιωτικόν.”

Ὀσχοφόροι: Ὑπερείδης ἐν τῷ κατὰ Δημέου, εἰ γνήσιος. περὶ τῶν ὀσχοφόρων ἄλλοι τε εἰρήκασι καὶ Φιλόχορος ἐν τῇ β′. ὁ δὲ Ἴστρος ἐν τῇ ιγ′ περὶ Θησέως λέγων γράφει οὕτως, ἕνεκα τῆς κοινῆς σωτηρίας νομίσαι τοὺς καλουμένους ὀσχοφόρους καταλέγειν δύο τῶν γένει καὶ πλούτῳ προυχόντων. ἡ δὲ ὄσχη κλῆμά ἐστι βότρυς ἐξηρτημένους ἔχον· ταύτην δὲ ὀρεσχάδα ἔνιοι καλοῦσιν.

Ὅτι νόμος ἐστὶν ὑπὲρ μ′ ἔτη γενόμενον χορηγεῖν παισὶν Αἰσχίνης τε ἐν τῷ κατὰ Τιμάρχου φησὶ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Ὅτι ξένους τινὰς ἑαυτοῦ αἰχμαλώτους σκάπτοντας ἐν τῷ Φιλίππου ἀμπελουργείῳ καὶ δεδεμένους παρὰ πότον ἐξῃτήσατο παρὰ Φιλίππου Σάτυρος Αἰσχίνης μὲν ἐν τῷ περὶ τῆς πρεσβείας φησὶ, Δημοσθένης δ᾽ ἐν τῷ κατ᾽ Αἰσχίνου φησὶν ὅτι Ἀπολλοφάνους θυγατέρας ἐξῃτήσατο, καὶ ἔοικε μᾶλλον ἀληθεύειν· καὶ γὰρ Ἀριστοτέλης ἔν τινι τῶν πρὸς Φίλιππον ἐπιστολῶν λέγει ὡς Σατύρῳ τῷ ὑποκριτῇ τὰς Ἀπολλοφάνους θυγατέρας ἀφῆκεν.

5.—8. Ὑπερείδης—καταλέγειν om. 8. δύο] δύο ἦσαν 9. προεχόντων E.T.D. et Suidas. διαφερόντων Phot. 10. δ᾽ ἔνιοι ὀρεσχάδα καλοῦσιν:— 11. παισίν:— 15. ἀμπελουργίῳ (ἀμπελουργείῳ Phot.) 16. ἐν τῷ παραπρεσβείας (ἐν τῷ περὶ παραπρεσβείας Phot.) φησὶν, ὁ δὲ Δημοσθένης ἐν τῷ κατ᾽ Αἰσχίνου λέγει ὅτι τὰς Ἀπολλοφάνους—λέγει, Σατύρῳ

2. σεσυληκότες ex Demosthene restitutum pro σεσυληκότας.

— ἐγίνετο] ἐγένοντο C. ἐγένετο B. Ald.

— ἡμέτερα] ὑμέτερα apud Demosthenem.

5. Δημέου Blancardus. Libri δημαίου.

— γνήσιος] ὁ λόγος addit A.

6. β′ Boeckhius in comment. de Philochoro in Actis Acad. Boruss. p. 11. Legebatur ιβ′, quod δωδεκάτῃ scriptum in Ald.

— ὁ δὲ Ἴστρος ἐν τῇ ιγ′ om. Ald.: habent codices. Ex suis primus supplevit Maussacus.

7. Θησέως] θέσεως B.C. Ald.

9. δὲ om. A.

11. Αἰσχίνης] p. 2, 25.

12. τῇ] τῇ τῶν C.

14. τινας] καί τινας B.C.

15. ἀμπελουργείῳ] Scribebatur ἀμπελουργίῳ. Correxi ex Æschine p. 49, 13.

— πότον] πόντον B.C.

16. πρεσβείας] παραπρεσβείας Ald.

17. Δημοσθένης—φησὶν om. C.

— Δημοσθένης] p. 401 extr.

— θυγατέρας] θυγατέρα A.

— καὶ—ἀληθεύειν om. C.

18. γὰρ om. Ald.

19. Φίλιππον] φιλίππου Ald.

Ὅτι οἱ ἁλόντες ἐπ' ἀκουσίῳ φόνῳ ἐξουσίαν εἶχον εἰς διοίκησιν τῶν ἰδίων, Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους ὑποσημαίνει καὶ Θεόφραστος ἐν τῷ ιγ' τῶν Νόμων δηλοῖ.

Ὅτι οἱ ποιητοὶ παῖδες ἐπανελθεῖν εἰς τὸν πατρῷον οἶκον οὐκ ἦσαν κύριοι, εἰ μὴ παῖδας γνησίους καταλίποιεν ἐν τῷ οἴκῳ τοῦ ποιησαμένου, Ἀντιφῶν ἐπιτροπικῷ κατὰ Καλλιστράτου καὶ Σόλων ἐν κα' Νόμων.

Ὅτι τὰ ἐπικηρυττόμενά τισι χρήματα ἐπὶ τῶν βωμῶν ἐτίθετο εἴρηκεν Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην τὸν Σωκρατικὸν, εἰ γνήσιος ὁ λόγος.

Ὅτι πρὸς τὴν φυλὴν τοῦ κεκτημένου αἱ πρὸς τοὺς δούλους λαγχάνονται δίκαι Ἰσαῖος ἐν ἀπολογίᾳ ἀποστασίου πρὸς Ἀπολλόδωρον δηλοῖ.

Ὅτι παιδὶ καὶ γυναικὶ οὐκ ἐξῆν συμβάλλειν πέρα μεδίμνου κριθῶν Ἰσαῖος ἐν τῷ περὶ τοῦ Ἀριστάρχου κλήρου φησίν.

Ὅτι χιλίας ἐζημιοῦντο αἱ κατὰ τὰς ὁδοὺς ἀκοσμοῦσαι γυναῖκες Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρας β' εἴρηκεν. Κρώβυλος δὲ ὁ

1. ἐξουσίαν om. (habent deteriores Suidæ libri) 2. Δημοσθένης δὲ (τε Phot. et Suidas) 3. δηλοῖ om. 5. καταλείποιεν (καταλίποιεν Phot. et deteriores Suidæ libri) ποιησαμένου :— 8. ἐτίθετο :— 11. κτησαμένου 12. δίκαι :— 14. συμβάλλειν] ἐμβάλλειν κριθῶν :— 16. γυναῖκες :—

1. ἐξουσίαν Ald., quod ex vulgatis Suidæ libris illatum. Nam Suidæ codex optimus id omittit, neque habet Epitome. Pro eo in A. est φρόντονα, in Q. φόρτωνα, in B. C.G.P. φρόντωνα, quod etiam in D. legitur post ἰδίων. De N. tacetur.

2. Δημοσθένης] Videtur ad ea spectare quæ p. 634. dicuntur.

5. καταλίποιεν] κατέλιπον B.C.

6. κατὰ addidit Sauppius Fragm. p. 139. qui similium titulorum exempla apud Meier. de lite Att. p. 443. comparat.

— κα'] εἰκοστῇ πρώτῃ Ald. κα* C.

9. εἰ γνήσιος ὁ λόγος om. C.

11. φυλὴν] φυλακὴν C. ut alibi interdum. Verbis πρὸς τὴν φυλὴν aut magistratum nobis ignotum aut quadraginta viros (de quibus Herm. Ant. Gr. §. 146, 10.) indicari conjecit Meier. in comment. de diætetis Athen. p. 24. Sauppio (Fragm. p. 228.) de diætetis publicis cogitandum esse videtur, quos ex universis Atheniensibus electos esse, quum vero electi essent, cuique tribui sortitione suos diætetas assignatos esse videri.

14. συμβάλλειν] ἐμβάλλειν A. superscripto γρ. συμ.

15. τοῦ om. B.

— Ἀριστάρχου] Legebatur Ἀλεξάνδρου. Quæ oratio ab nemine memorata. Locus Isæi est in orat. περὶ τοῦ Ἀριστάρχου κλήρου p. 80, 30. Hujus igitur nomen restitui cum Valesio.

— κλήρου Maussacus pro κλήρῳ.

17. Ἀρισταγόρας] ἀρισταγόρου Ald.

κωμικός φησι τοῦ Φιλιππίδου τὸν νόμον εἶναι τὸν περὶ τούτων κείμενον.

Οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς: *Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. παροιμία ἐστὶν ἐλλιπῶς λεγομένη· προσυπακουστέον οὖν ἔξωθεν τὸ ἀγκύρας.*

Οὐσίας δίκη: *οἱ δικαζόμενοι περὶ χωρίων ἢ οἰκιῶν πρὸς τοὺς ἔχοντας οὐσίας ἐδικάζοντο τὴν δευτέραν δίκην· ἡ δὲ προτέρα ἦν τῶν μὲν οἰκιῶν ἐνοικίου, τῶν δὲ χωρίων καρποῦ, τρίτη δὲ ἐπὶ τούτοις ἐξούλης. καὶ ἐξῆν τοῖς ἑλοῦσι κρατεῖν τῶν κτημάτων καὶ εἰ τὴν δίκην τὴν τοῦ καρποῦ ἢ τοῦ ἐνοικίου καὶ εἰ τὴν δευτέραν ἡττηθεῖεν τὴν τῆς οὐσίας· εἰ δὲ καὶ ἐξούλης ἁλοῖεν, οὐκέτι ἐξῆν ἐπικρατεῖν, ἀλλ' ἐξίστασθαι ἔδει ἤδη τῶν κτημάτων τοῖς καταδικασαμένοις. ταῦτα δὲ ἔστι μὲν καὶ παρ' ἄλλοις ῥήτορσιν, ἀκριβέστατα δὲ εἴρηται Ἰσαίῳ ἔν τε τῷ πρὸς Τιμωνίδην περὶ χωρίου καὶ ἐν τῷ πρὸς Δωρόθεον ἐξούλης. διείλεκται δὲ περὶ τῆς δίκης καὶ Θεόφραστος ἐν ιη' περὶ νόμων.*

Ὀφρύνιον: *Δημοσθένης ἐν τῷ πρὸς Ἀπατούριον. πόλις ἐστὶ τῆς Τρῳάδος, ὡς δηλοῖ Ἀνδροτίων ἐν γ' Ἀτθίδος.*

Ὀχεῖον: *ἀντὶ μὲν τοῦ ὄχημα Δείναρχος ἐν ἀπολογίᾳ πρὸς Ἀντιφάνην περὶ τοῦ ἵππου, ἀντὶ δὲ τοῦ εἰς ὀχείαν ἀποδεδειγμένον ὁ*

3. ΌΡΜΕΙ'] ὁρμῇ 4. ἐλλειπῶς (ἐλλιπῶς Phot. et Suidas. ἐλλειπτικῶς D.) εἰρημένη. προσυπακουστέον (ὡς ὑπακουστέον E.T.) δὲ ἔξωθεν 5. τὸ ἀγκύρας] τῆς ἀγκύρας libri Suidæ uno excepto. 7. τῶν μὲν οἰκιῶν ἦν (non Phot. et Suidas) 8. χωρίων] χωρῶν τούτοις] τούτων 9. καὶ εἰ τὴν δίκην] κἂν τὴν δίκην (καὶ τὴν δίκην Phot. et Suidas) 10. τὴν post δίκην om. καὶ εἰ] εἰ καὶ (ἢ καὶ Phot. et Suidas) 11. ἐπικρατεῖν] κρατεῖν 12. ἔδει post τῶν κτημάτων καταδικασαμένοις:— 18. Τρῳάδος:— (Verba π. ἐστὶ τῆς Τ. ante Δημοσθένης ponit Phot.) 19. Δείναρχος ἐχρήσατο. ἐχρήσατο δὲ ὁ αὐτὸς ἀντὶ τοῦ εἰς ὀχείαν ἀποδεδειγμένον. φησὶν γὰρ, (γοῦν D.) ὀνοῦνταί (ὠνοῦνται Suidas) μοι τῶν ἵππων ὀχεῖον. Λυκοῦρ-

3. ΤΗ͂Σ ΑΥ'ΤΗ͂Σ] τοῖς αὐτοῖς C.
— Δημοσθένης] p. 319, 18.
4. ἐλλιπῶς B. C. N. Ald. ἐλλειπῶς A.
8. τρίτη—τὴν τοῦ καρποῦ om. C.
— δὲ post τρίτη additum ex Epitome.
— τούτοις] τῆς B.
9. τὴν δίκην] τὴν πρώτην δίκην Bekkerus. Non opus.
11. δὲ] δὲ καὶ B.C.
17. 'ΟΦΡΥ'ΝΙΟΝ ex Epitome pro Ὀφρύνειον.
— Δημοσθένης] p. 899, 1.
— ἐστὶ] δέ ἐστι C.
19. μὲν τοῦ] τοῦ μὲν C.
20. τοῦ ἵππου] τῆς ἵππου C.
— ἀποδεδειγμένον] ἀποδεδειγμένου A.B.

αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· φησὶ γὰρ "ὠνοῦνταί μοι τὸν ἵππον ὀχεῖον." Λυκοῦργος δ' ἐν τῷ περὶ διοικήσεως γείτονας τοῦ ὀχείου φησί· μήποτε δὲ ἐπὶ τόπου τινὸς, ἐν ᾧ ὀχεῖαι γίνονται κτηνῶν ἢ ὀχήματα μισθοῦται.

Π.

Παγασαί: Δημοσθένης ἐν Φιλιππικοῖς. ἐπίνειόν ἐστι Φεραίων αἱ Παγασαὶ, ὡς Θεόπομπος ἐν τῇ ε' τῶν Φιλιππικῶν δηλοῖ.

Παιανιεῖς καὶ Παιονίδαι: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος "ὅτ' ἐγράψατο εἰς Ἄρειον πάγον Δημομέλη τὸν Παιανιέα ἀνεψιὸν "ὄντα." Δίδυμος γραπτέον εἶναί φησι Παιανέα, χωρὶς τοῦ ι. εἰσὶ δὲ διττοὶ δῆμοι Παιανιέων τῆς Πανδιονίδος φυλῆς, οὓς Διόδωρος καγος—διοικήσεως (οἰκήσεως Phot.)—μήποτε (καὶ μήποτε Phot. et Suidas) ἐπὶ τόπου τινὸς ἔλαβον τὴν λέξιν ἐν ᾧ—μισθοῦται :—

6. ΠΑΓΑΣΑΙ'] Παγάς Suidas. ἐν] ἐν τοῖς Phot. Φεραίων] Φερέον :— φορέων (sic, non φερέων) D. Φεραῖον Suidas. Φεραίων Photius. 8. ΠΑΙΑΝΙΕΓΣ καὶ ΠΑΙΟΝΙΓΔΑΙ. δῆμοι διττοί εἰσι Παιανίων (Παιανιέων Phot.) τῆς Πανδιονίδος φυλῆς, ὡς Διόδωρος καλεῖσθαι φησὶ Παιανίαν Παιανιαίαν (Παιανίαν Phot.) καθύπερθεν καὶ Παιανίαι (Παιανίαν Phot. Παιανιαίαν Suidas) ὑπένερθε (ὑπένερθεν Phot. et Suid.) τὸν δὲ δημότην ἑκατέρου δήμου καλεῖσθαι ὁμοίως Παιανιαία (παιανιαῖα Suidæ libri optimi pro vulgato Παιανιέα, quod est ap. Phot.). διαφέρουσι δὲ οὗτοι τῶν Παιονίδων (Παιονιδῶν Phot. Παιανίδων Suidas). δῆμος δέ ἐστι καὶ οὗτος τῆς Λεοντίδος :—

1. γὰρ ex Epitome additum.
— ὠνοῦνταί μοι τὸν ἵππον ὀχεῖον] *Emunt s. conducunt equum meum ad admissuram*, ut recte interpretatur Stephanus Thes. vol. 5. p. 2465. ed. Paris. Nam ὀχεῖον non adjectivum est, quæ quorundam opinio fuit, sed substantivum. Pro adjectivo qui habuit Saupp. Fragm. p. 263. τὸν ἵππον τὸν ὀχεῖον scripsit.
2. δ' om. B.C. Ald.
— διοικήσεως] τῆς διοικήσεως B.C.
3. κτηνῶν Epitome. Libri τῶν κτηνῶν.
— ἢ—μισθοῦται] ἢ—ὀχεῖται C.
6. Δημοσθένης] p. 11, 18. 15, 18. 21, 14.
— ἐν om. C.
— ἐστι ex Epitome pro εἰσι.
— Φεραίων] φερέων A. Ald.
7. ε' om. B.C.
8. ΠΑΙΑΝΙΕΙ῀Σ] παιανεῖς C.
— ΠΑΙΟΝΙΓΔΑΙ] παιανίδαι in Lexico cod. Coisl. 177. ap. Montef. p. 238.
— Αἰσχίνης] p. 60 extr.
9. ἐγράψατο—Δημομέλη] ἐγράψαντο—δημοσία libri. Correctum ex Æschine.
10. Δίδυμος—χωρὶς τοῦ ι' om. C.
— Παιανέα Bekkerus. Libri παιανιέα. ΠΑΙΑΝΕΥΣ apographorum quorundam vitium pro ΠΑΙΑΝΙΕΥΣ in inscr. 522. et 747. ap Boeckhium memorat Bekkerus. Constans in inscriptionibus scriptura Παιανιεύς est, neque apparet quomodo Didymus de forma Παιανεύς cogitare potuerit.
— τοῦ ῑ] τοῦ η̄ B. Ald.
11. οὓς Blancardus. ὡς libri.

λεῖσθαί φησι Παιανίαν καθύπερθεν καὶ Παιανίαν ὑπένερθεν· ὁμοίως δ' ἑκατέρου τῶν δήμων τὸν δημότην καλεῖσθαί φησι Παιανιέα. διαφέρουσι δὲ οὗτοι τῶν Παιονιδῶν, ὡς Ἴστρος ἐν Ἀτάκτῳ ὑποσημαίνει. μνημονεύουσι δὲ καὶ τούτων οἱ ῥήτορες, ὥσπερ καὶ Δείναρχος ἐν τῷ κατὰ Στεφάνου περὶ τοῦ ὀχετοῦ. δῆμος δέ ἐστιν οὗτος τῆς Λεοντίδος, ὡς ὁ αὐτὸς Διόδωρος δηλοῖ.

Παλιναίρετος: Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος ἐνδείξει. μήποτε παλιναίρετον λέγει ὁ ῥήτωρ τὸν Πολύευκτον, ἐπειδήπερ συκοφαντῶν τινὰς, ἔπειτα λαμβάνων δῶρα τούτοις αὐτοῖς ἐβοήθει, ὡς ἐν αὐτῷ τῷ λόγῳ δείκνυται· ἢ ὅτι συκοφάντης ἁλοὺς ἐζημιοῦτο, καὶ διὰ τοῦτ' ἐκωλύετο λέγειν πρὶν ἀποτῖσαι τὴν ζημίαν ἣν ὦφλεν, ἔπειτα ἀποτίσας τὴν ζημίαν πάλιν ἔλεγεν, ὡς δηλοῦται καὶ τοῦτο ἐν τῷ λόγῳ. ὅτι γὰρ τοὺς τοιούτους ἐκάλουν παλιναιρέτους, καὶ τοὺς ἀποχειροτονηθέντας τὴν ἀρχὴν καὶ πάλιν χειροτονηθέντας, Εὔπολίς τε ἐν Βάπταις δηλοῖ καὶ Ἄρχιππος ἐν τοῖς Ἰχθύσι λέγων

7. ΠΑ'ΛΙΝ ΑΙ'ΡΕΤΟ'Σ (παλιναίρετος Phot. et Suidas). Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος ἐνδείξει· μήποτε δὲ αἱρετὸν (αἵρετον T.) λέγει ὁ ῥήτωρ τὸν Πολύευκτον, ἐπειδήπερ (ἐπειδὴ γὰρ Phot.) συκοφαντῶν τινὰς, ἔπειτα λαμβάνων δῶρα τούτοις αὐτοῖς ἐβοήθει· ἢ ὅτι συκοφάντης ἁλοὺς ἐζημιοῦτο, καὶ διὰ τοῦτο ἐκωλύετο τὸ (τοῦ D. τὸ om. Phot. et Suidas) λέγειν, πρὶν ἀποτῖσαι τὴν ζημίαν ἣν ὤφειλεν· ἔπειτα ἀποτίσας τὴν ζημίαν πάλιν ἔλεγεν. ἐκάλουν δὲ τοὺς τοιούτους πάλιν αἱρετοὺς (παλιναιρέτους Phot. et Suidas). ἀλλὰ καὶ τοὺς ἀποχειροτονηθέντας ἄρχοντας (ἀρχὴν Suidas, cujus codex optimus tota hac glossa caret) τινὰ ἀρχὴν (ἄρχειν Suidas) καὶ πάλιν χειροτονηθέντας. Πίνδαρος

1. Παιανίαν — Παιανίαν] παιανιέων—παιανιέων A. Ceteri παιανιέαν utrobique, nisi quod παιανιέα G. Ego comparata Epitomes scriptura utrobique Παιανίαν restitui. Sic Λαμπτραὶ αἱ μὲν παράλιαι, αἱ δὲ καθύπερθεν dixit Harpocratio s. h. v.

1. 2. Παιανίαν κ.—καλεῖσθαί φησι om. C.

1. Παιανίαν κ. καὶ Παιανίαν om. B.

— καθύπερθεν] καθύπερθε A.

3. δὲ] οὖν C. om. B.

— οὗτοι om. C.

— Ἀτάκτῳ] Scribendum videtur Ἀτάκτοις, ut apud alios scriptores hunc Istri librum memorantes.

5. ἐστιν Sauppius Fragm. p. 333. Legebatur ἐστι καί.

5. Λεοντίδος] λεωνίδος C.

6. ὁ additum ex A.

7. ΠΑΛΙΝΑΙ'ΡΕΤΟΣ] πάλιν αἱρετὸς A.B. Ald. unde παλιναιρετὸς oxytonum est in C. pariterque mox in accusativo, ubi πάλιν αἱρετὸν et πάλιν αἱρετοὺς A.B. Ald.

— τῇ] τῷ C.

12. τὴν ζημίαν om. N.

— ὦφλεν Sauppius Fragm. p. 326. Legebatur ὤφειλεν.

13. ἐν τῷ] ἐν τῷ αὐτῷ N.

15. Βάπταις] βαπταῖς A.

— δηλοῖ] φησὶ C.

— τοῖς om. C.

αἱρουμένους τε πραγμάτων ἐπιστάτας
ἀποδοκιμάζειν, εἶτα δοκιμάζειν πάλιν
ἣν οὖν ποιῶμεν ταῦτα, κίνδυνος λοθεῖν
ἀπαξάπαντας γενομένους παλιναιρέτους.

ἐπὶ δὲ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων Πίνδαρος Διθυράμβοις.

Παλίνσκιον: Ἰσαῖος μὲν ἐν τῷ πρὸς ὀργεῶνας "μήτε παλίνσκιον γίγνεσθαι τὸ χωρίον" ἀντὶ τοῦ σύσκιον, Ἀρχίλοχος δὲ τριμέτροις

πρὸς τοῖχον ἐκλίνθησαν ἐν παλινσκίῳ

ἀντὶ τοῦ ἐν σκοτεινῷ, καὶ Σοφοκλῆς Ἰνάχῳ

χειμῶνι σὺν παλινσκίῳ

ἀντὶ τοῦ ζοφερῷ.

Παλίμβολον: Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. ὁ πολλάκις ἐπ' ἐμπολῇ μεταβεβλημένος παλίμπρατος παλίμβολος λέγεται, ὡς δῆλόν ἐστιν ἔκ τε τοῦ Δεινάρχου κατὰ Πολυεύκτου καὶ ἐκ τοῦ Μενάνδρου Σικυωνίου.

Παλληνεύς: Ὑπερείδης ἐν τῇ ὑπὲρ Χαιρεφίλου ἀπολογίᾳ. Παλλήνη δῆμος τῆς Ἀντιοχίδος. τὸ δὲ ἐκ τόπου ἐπίρρημα Δεί-

δὲ ἐν Διθυράμβοις ἐπὶ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων ἐχρήσατο τῇ λέξει:—

7. ΠΑΛΙΣΚΙΟΝ (παλίνσκιον Phot. et Suidas). Ἰσαῖος μὲν ἀντὶ τοῦ σύσκιον· Ἀρχίλοχος δὲ ἀντὶ τοῦ σκοτεινόν. καὶ Σοφοκλῆς "χειμῶνι παλινσκίῳ" ἀντὶ τοῦ ζοφερῷ:— Suidæ codex A. omissa hac glossa in marg. habet παλίνσκιον, σύκιον (i. e. σύσκιον), σκοτεινόν. 14. ΠΑΛΙΜΒΟΛΟΝ. Αἰσχίνης ἐν τῷ (περὶ add. Phot.) παραπρεσβείας· ὁ πολλάκις ἐπεμπολλῇ (ἐπεμβολῇ D. ἐπ' ἐμπολῇ Phot.) μεταβεβλημένος (καὶ λεγόμενος addit Phot.) ἐν τῷ βίῳ παλίμπρατος παλίμπολος (παλίμβολος Phot.) ἐλέγετο, ὡς Δείναρχος δηλοῖ καὶ Μένανδρος:— Hanc gl. om. Suidas, qui duas alias habet. 17. ΠΑΛΛΗΝΕΥΣ. Παλλήνη δῆμος τῆς Ἀντιοχίδος· τὸ δὲ ἐκ τόπου ἐπίρρημα Παλληνῆ-

2. εἶτα δοκιμάζειν addidit Porsonus Advers. p. 281.

4. παλιναιρέτους] Hic quoque libri πάλιν αἱρετούς.

5. Πίνδαρος] Fragm. 54.

7. μὲν quodque ei respondet δὲ additum ex Epitome.

— μήτε] μήποτε C.

8. γίγνεσθαι] γενέσθαι C.

10. ἐκλίνθησαν Toupius. Libri ἐκινήθησαν.

10. παλινσκίῳ] παλισκίῳ N.

11. Σοφοκλῆς] Fragm. 272.

14. Αἰσχίνης] p. 33, 24.

— πρεσβείας] παραπρεσβείας Ald.

15. ἐπ' ἐμπολῇ ex Epitome. ἐπεμβολῇ A.N. ἐν πολλῇ C. ἐμπολῇ Ald. ἐμβολῇ O.

— μεταβεβλημένος] καταβεβλημένος B.

16. τε om. B C.

19. τῆς om. B.C.

ναρχος ἐν τῷ κατὰ Στεφάνου Παλλήνηθέν φησιν, ὁ δὲ δημότης Παλληνεύς. ὅτι δ' ἐστὶ καὶ ἐν Θρᾴκῃ Παλλήνη γνώριμον.

Παλαμναῖος: Ὑπερείδης ἐν τῷ κατὰ Δημάδου. τοὺς αὐτοχειρίᾳ τινὰς ἀνελόντας τῇ παλάμῃ παλαμναίους ἐκάλουν, ὡς καὶ Αὐτοκλείδης ἐν ἐξηγητικῷ ὑποσημαίνει.

Παμβωτάδης: Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον. Παμβωτάδαι τῆς Ἐρεχθηΐδος δῆμος.

Πανδαισία: Ἰσαῖος ἐν τῷ πρὸς Μέδοντα. ἔστι μὲν τοὔνομα πολλάκις καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ, πανδαισία δέ ἐστι τὸ πάντα ἔχειν ἄφθονα καὶ μηδὲν ἐλλείπειν ἐν τῇ δαιτί. ἡ γὰρ τοῦ Διδύμου ἀπόδοσις περίεργος.

Πάνδημος Ἀφροδίτη: Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν πάνδημόν φησιν Ἀθήνησι κληθῆναι τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγορὰν διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον συνάγεσθαι τὸ παλαιὸν ἐν ταῖς ἐκκλησίαις, ἃς ἐκάλουν ἀγοράς. Νίκανδρος ἐν ϛ' Κολοφωνιακῶν Σόλωνά φησι σώματα

θεν (Παλλήνηθεν Phot. In Suidæ libris vel παλληνόθεν cum Zonara p. 1525, vel παλληνήθεν vel παλληνίθεν). ὁ δὲ δημότης Παλληνεύς. ὅτι δέ ἐστιν καὶ ἐν (ἐστιν ἐν Suidæ codices præter unum) Θρᾴκῃ Παλλήνη γνώριμον:—
3. ΠΑΛΑΜΝΑΙ´ΟΣ. τοὺς αὐτοχειρίᾳ τινὰς ἀνελόντας τῇ παλάμῃ παλαμναίους ἐκάλουν:— Glossam omisit Suidas, alia substituta. 6. ΠΑΜΒΩΤΑ´ΔΕΣ (Παμβωτάδαι D.). Παμβῶται δῆμος τῆς Ἐρεχθεΐδος (Ἐρεχθηΐδος Suidas. Totam gl. om. Phot.):— 8. ΠΑΝΔΑΙΣΙ´Α. ἡ πάντα ἔχουσα ἄφθονα καὶ μηδὲν ἐλλείπουσα ἐν τῇ δαιτί:— 12. ΠΑ´ΝΔΗΜΟΣ ἈΦΡΟΔΙ´ΤΗ. οὕτως ἐκάλουν τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγοράν, διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον (ἐνταῦθα δῆμον πάντα D.) συνάγεσθαι τὸ παλαιόν· ἃς ἐκάλουν ἀγοράς· ἔστι δὲ τὸ πάνδημον πάγκοινον:—

1. ὁ δὲ ex Epitome pro ὁ οὖν.
3. τοὺς additum ex Epitome.
4. Αὐτοκλείδης] αὐτοκλεῖ A.
6. ΠΑΜΒΩΤΑ´ΔΗΣ] παμβωτάδεις B.C. Ald.
— Δημοσθένης] p. 1250. ubi est Ἀρκέσαντι Παμβωτάδῃ.
— Δημοσθένης — πανδαισία om. B.C.
8. μὲν] δὲ C.
9. ἐστι Ald. εἶναι εἴληφα A. εἶναι εἴληφε B.C.
11. Πατροκλέους] προκλέους B. πρωκλέους A.
13. γνήσιος] ὁ λόγος addit A.
14. ἀφιδρυθεῖσαν] ἀμφιδρυθεῖσαν B.C.
— τὴν ἀρχαίαν ἀγορὰν] De qua v. Boeckh. Corp. Inscr. vol. 1. p. 470. Forchhammer. in Topogr. Athenarum (Kilon. 1841.) p. 38—40. Raoul-Rochette in *Journal des Savants* 1851. p. 551.
15. συνάγεσθαι] ἀνάγεσθαι A.
— τὸ] τὸν A.B. Ald.
16. ϛ'] ἕκτῳ Ald. ἕκτη C. ϐι N. Fortasse τρίτῳ restituendum ex Athenæo 13. p. 569 d. καὶ Φιλήμων δ' ἐν Ἀδελφοῖς προσιστορῶν ὅτι πρῶτος Σόλων διὰ τὴν τῶν νέων ἀκμὴν

ἀγοράσαντα εὐπρεπῆ ἐπὶ στέγης στῆσαι διὰ τοὺς νέους, καὶ ἐκ τῶν περιγενομένων χρημάτων ἱδρύσασθαι Ἀφροδίτης πανδήμου ἱερόν. ἔστι δὲ τὸ πάνδημον πάγκοινον.

ΠΆΝΔΙΑ: *ἑορτή τις Ἀθήνησι μετὰ τὰ Διονύσια ἀγομένη.*

ΠΑΝΔΟΣΊΑ: *Δημοσθένης Φιλιππικοῖς. περὶ τῆς ἁλώσεως τῶν ἐν Κασσωπίᾳ πόλεων, ὧν ἐστι καὶ Πανδοσία, Θεόπομπος ἐν γʹ ἱστόρηκεν.*

ΠΑΝΔΙΟΝΊΣ: *Δημοσθένης κατὰ Μειδίου. μία τῶν δέκα φυλῶν παρ' Ἀθηναίοις ἐστὶ, κληθεῖσα ἀπὸ Πανδίονος τοῦ Ἐριχθονίου, ὡς ἄλλοι τε πολλοὶ λέγουσι καὶ Ὑπερείδης ἐν τῷ ὑπὲρ Φορμισίου.*

ΠΑΝΑΘΉΝΑΙΑ: *Δημοσθένης Φιλιππικοῖς. διττὰ Παναθήναια ἤγετο Ἀθήνησι, τὰ μὲν καθ' ἕκαστον ἐνιαυτὸν, τὰ δὲ διὰ πεντετηρίδος, ἅπερ καὶ μεγάλα ἐκάλουν. Ἰσοκράτης Παναθηναϊκῷ φησι "μικρὸν δὲ πρὸ τῶν μεγάλων Παναθηναίων." ἤγαγε δὲ τὴν ἑορτὴν πρῶτος Ἐριχθόνιος ὁ Ἡφαίστου, καθά φησιν Ἑλλάνικός τε καὶ Ἀνδρο-*

4. ΠΑ'ΝΔΕΙΑ (Πάνδια Phot.). *ἑορτή τις Ἀθήνησιν μετὰ τὰ Διονύσια ἀγομένη*:— Ceterum Epitome hanc gl. proximæ postponit. 5. ΠΑΝΔΟΣΙ'Α. *πόλις μία τῶν ἐν Κασωπίᾳ*:— 8. ΠΑΝΔΙΩΝΙ'Σ (Πανδιονίς Phot.). *μία τῶν ιʹ φυλῶν παρὰ Ἀθηναίοις· ἀπὸ Πανδίωνος* (*–ονος* Phot.) *τοῦ Ἐριχθονίου κληθεῖσα*:— 11. ΠΑΝΑΘΗ'ΝΑΙΑ. *διττὰ Παναθήναια ἤγετο Ἀθήνησιν, τὰ μὲν καθ' ἕκαστον ἐνιαυτὸν, τὰ δὲ διὰ πενταετηρίδος* (*πεντετηρίδος* Phot.), *ἃ καὶ μεγάλα ἐκάλουν· ἤγαγεν δὲ τὴν ἑορτὴν πρῶτος Ἐριχθόνιος* (*ὁ* addunt Phot. et Suidas) *Ἡφαίστου· τὰ δὲ Παναθήναια πρότερον Ἀθήναια ἐκαλοῦντο*:—

ἔστησεν ἐπὶ οἰκημάτων γύναια πριάμενος, καθὰ καὶ Νίκανδρος ὁ Κολοφώνιος ἱστορεῖ ἐν τρίτῳ Κολοφωνιακῶν, φάσκων αὐτὸν καὶ πανδήμου Ἀφροδίτης ἱερὸν πρῶτον ἱδρύσασθαι, ἀφ' ὧν ἠργυρίσαντο αἱ προστᾶσαι τῶν οἰκημάτων.

P. 233, 16. Κολοφωνιακῶν] *κολωνιακῶν* B. *κολοφωνικῶν* N.

P. 234, 1. στῆσαι] *στήσασθαι* A.

2. περιγενομένων] *περιγινομένων* A. Ald.

— Ἀφροδίτης] *ἀφροδίτη* B.C.

— *πανδήμου* Maussacus pro *πάνδημον*.

3. *τὸ* additum ex Epitome.

4. ΠΑ'ΝΔΙΑ (*πάνδεια* Ald.) —] Hanc gl. post gl. *παραγραφή* habent B. Ald., om. A.C. Spectat glossa, ut videtur, ad Demosth. p. 517, 10.

5. Δ. Φ.] *φ. δ.* B.C. Locus Demosthenis est p. 84, 22.

6. *ἐν* om. B.

— Κασσωπίᾳ] *κασωπίᾳ* Epitome. *κασσωπείᾳ* C. Ald. *κασωπείᾳ* A. *κασεπείᾳ* B. Restitui Κασσωπίᾳ ex Demosthene. Duplex *σ* omnes probasse uno excepto Herodiano refert Steph. Byz. s. v. Κασσώπη.

8. ΠΑΝΔΙΟΝΙ'Σ] *πανδιωνίς* C. Ald.

— Δημοσθένης] p. 518 extr.

11. Δημοσθένης Φιλιππικοῖς] Immo de falsa leg. p. 394, 2.

12. πεντετηρίδος] *πενταετηρίδος* A. Ald.

13. Ἰσοκράτης] p. 236 c.

14. *πρῶτος Ἐριχθόνιος* ex Epitome pro *ὁ Ἐριχθόνιος*.

τίων, ἑκάτερος ἐν α' Ἀτθίδος. πρὸ τούτου δὲ Ἀθήναια ἐκαλεῖτο, ὡς δεδήλωκεν Ἴστρος ἐν γ' τῶν Ἀττικῶν.

Πάνακτος: Δημοσθένης κατὰ Κόνωνος. πόλις ἐστὶ μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας, ὡς καὶ Εὐριπίδης ἐν Αἰγεῖ μνημονεύει. Θουκυδίδης μὲν οὖν οὐδετέρως καλεῖ τὸ χωρίον ἔν τε ἄλλοις κἀν τῇ ε', ἀρρενικῶς δὲ Μένανδρος ἐν Ψοφοδεεῖ.

Πάνδροσος: ὄνομα γυναικός.

Παραγραφή: οὐ μόνον ἐπὶ τοῦ κοινοῦ καὶ γνωρίμου τίθεται παρὰ τοῖς ῥήτορσιν, ἀλλ' ἰδίως Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεώς φησιν "λέγε ἀρξάμενος ἀπὸ τῆς παραγραφῆς," ὅπερ ἐστὶν ἀπὸ τῆς γραμμῆς ἣν μέχρι νῦν παράγραφον καλοῦμεν· καὶ ἔστι τὸ λεγόμενον, ἀφ' οὗ παρέγραψα· τοῦτο δ' ἂν εἴη, ἀφ' οὗ παρεθέμην. ὁ δ' Ὑπερείδης ἐν τῷ κατὰ Δημοσθένους "οὐδὲ μέχρι παραγραφῆς" φησὶν ἀντὶ τοῦ οὐδὲ μέχρι τινὸς ὡρισμένου χρόνου καὶ παραγεγραμμένου, ὅ ἐστι περιγεγραμμένου.

Παραγγελία: Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου "ὅση σπουδὴ "καὶ παραγγελία περὶ τουτονὶ τὸν ἀγῶνα γέγονε." καὶ Αἰσχίνης δὲ τρόπον τινὰ τῇ αὐτῇ διανοίᾳ ἐχρήσατο ἐν τῷ κατὰ Κτησιφῶντος·

3. ΠΑ'ΝΑΚΤΟΣ. πόλις μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας· Θουκυδίδης δὲ καὶ οὐδετέρως καλεῖ τὸ χωρίον, Μένανδρος δὲ ἀρρενικῶς (ἀρσενικῶς Phot. et Suidas) :— 9. Ἰσοκράτης παραγραφῆς εἶπεν ἀντὶ τοῦ ἀπὸ τῆς γραφῆς (ἀπογραφῆς Phot.)· καὶ ἔστι τὸ λεγόμενον παρ' αὐτοῦ (αὐτῷ ap. Suidam, sed codices αὐτοῦ, excepto, si quid tribuendum silentio, A.) ἀφ' οὗ παρέγραψα (ἀντέγραψαν Phot.)· τοῦτο (ταῦτα Phot.) δ' ἂν εἴη, ἀφ' οὗ παρεθέμην· ὁ δὲ Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους, οὐδὲ μέχρι παραγραφῆς φησὶν, ἀντὶ τοῦ οὐδὲ μέχρι τινὸς ὡρισμένου χρόνου καὶ παραγεγραμμένου (ὅπέρ ἐστι περιγεγραμμένου addunt Phot. et Suidas) :— 16. ΠΑΡΑΓΓΕΛΙ'Α. περὶ τουτονὶ τὸν ἀγῶνα γέγονε· καὶ Αἰσχίνης δὲ τρόπον τινὰ τῇ αὐτῇ διανοίᾳ ἐχρήσατο ἐν τῷ κατὰ

1. ἐκαλεῖτο] ἐκαλοῦντο C.
3. Δημοσθένης] p. 1257, 4.
4. Εὐριπίδης] παρ' εὐριπίδῃ A.
— Αἰγεῖ Maussacus. αἰγίδι A. Ald. αἰγὶ B.C.
5. Θουκυδίδης] 5, 3. et 42.
— ἐν om. B.
6. Ψοφοδεεῖ Maussacus. ψηφώδεσιν B. Ald. ψηφώδεσσι C. ψηφώσεσιν A.
8. τοῦ om. C.
— γνωρίμου] ἰδίου C.
9. Ἰσοκράτης] p. 322 a.
— φησιν :— C.
11. γραμμῆς] γραφῆς B. Ald.
— ἣν N. Ceteri ἧς.
14. παραγεγραμμένου] παραγεγραμμένον A.
— περιγεγραμμένου] παραγεγραμμένου B. περιγεγραμμένον A.
16. Addidi verba Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου.
— ὅση σπουδὴ καὶ παραγγελία] His quoque verbis libri carent. Ex initio orationis Demosthenicæ supplevit Maussacus.
18. ἐν τῷ] αὐτῷ A.
— κατὰ Κτησιφῶντος] In initio.

"τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὴν παράταξιν "ὅση γεγένηται, καὶ τὰς κατ' ἀγορὰν δεήσεις αἷς κέχρηνταί τινες." Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἀποφάσει "καὶ τὰς ἰδίᾳ παραγ-"γελίας γεγενημένας καὶ τὰς δεήσεις."

Παράκλησις: ἀντὶ τοῦ προτροπή. Ἰσοκράτης Παραινέσεσι "διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες." τίθεται μέντοι σπανίως καὶ ἀντὶ τῆς δεήσεως· Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας προειπὼν "εἰ μὲν ὑπὲρ ἰδίου τινὸς ἦν ὁ ἀγὼν, ἐδεόμην ἂν "ὑμῶν μετ' εὐνοίας ἀκοῦσαί μου" μετ' ὀλίγον φησὶν "νυνὶ δὲ αὐτοὺς "ὑμᾶς οἶμαι τοῦτο ποιήσειν καὶ χωρὶς παρακλήσεως τῆς ἐμῆς."

Πάραλος: Δημοσθένης Φιλιππικοῖς. μία τῶν παρ' Ἀθηναίων πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων τριήρων, ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα Παράλου. οἱ δὲ ἐπιβεβηκότες αὐτῆς ἐκαλοῦντο Πάραλοι, οἳ διὰ ταύτην τὴν ὑπηρεσίαν τέτταράς τε ὀβολοὺς ἐλάμβανον καὶ τὸ πλεῖον μέρος τοῦ ἐνιαυτοῦ οἴκοι ἔμενον, ἄλλα τέ τινα ὑπῆρχεν αὐτοῖς παρὰ τῆς πόλεως, ὥς φησιν Ὑπερείδης ἐν τῷ κατ' Ἀρχεστρατίδου. μέμνηται δὲ τοῦ Παράλου ἥρωος καὶ Φύλαρχος ἐν κα'.

Κτησιφῶντος· τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ παράταξιν ὅση γεγένηται. καὶ τὰς κατὰ τὴν ἀγορὰν δεήσεις, αἷς κέχρηνται τινές· Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἀποφάσει· καὶ τὰς ἰδία (ἰδίας Phot. et Suidas) παραγγελίας γεγενημένας καὶ τὰς δεήσεις :—

6. γράψαντες. Λυκοῦργος δὲ ἀντὶ τῆς δεήσεως ἐχρήσατο, λέγων· ὑμᾶς οἶμαι τοῦτο ποιήσειν, καὶ χωρὶς τῆς ἐμῆς παρακλήσεως :— 11. ΠΑ'ΡΑΛΟΣ. Δημοσθένης (ἐν addit D.) Φιλιππικοῖς· μία τῶν παρ' Ἀθηναίοις πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων (παραπεμπομένων Suidæ codex A.) τριηρῶν, ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα. παράλιοι (πάραλοι Phot. et Suidas) δ' ἐκαλοῦντο οἱ ἐπιβεβηκότες αὐτῆς (αὐταῖς Phot.)· οἱ καὶ διὰ ταύτην τὴν ὑπηρεσίαν, τέσσαράς τε ὀβολοὺς ἐλάμβανον καὶ τὸ πλεῖστον τοῦ ἐνιαυτοῦ οἴκοι τε ἔμενον, καὶ ἄλλα τινὰ ὑπῆρχεν αὐτοῖς παρὰ τῆς πόλεως :—

1. τὴν παράταξιν] τὴν om. A.
2. ὅση γεγένηται om. C. ὅση— τινες om. N.
— κατ' ἀγορὰν] κατὰ τὴν ἀγορὰν C.
3. ἰδίᾳ Epitome. Libri ἰδίας.
5. προτροπή] παρατροπή B.C.
— Ἰσοκράτης] p. 3 a.
8. ὑπὲρ] περὶ C.
9. ὑμῶν om. B.C.
— μετ'] καὶ μετ' C.
10. τοῦτο om. B.C.
10. π. τῆς ἐμῆς] τῆς ἐμῆς π. N. τῆς ἡμῶν π. B.C.
11. Δημοσθένης] p. 97.
12. τριήρων] τριήρεων B.C.G.
13. λαβοῦσα om. B.C.
16. ὑπῆρχεν ex Epitome pro ὑπῆρχον.
17. Ἀρχεστρατίδου] ἀρχεστράτου A. ἀρχιστράτου Ald.
— ἥρωος] καὶ ἥρωος A.
18. ἐν] ἐν τῇ B. Ald.

Παράβυστον: οὕτως ἐκαλεῖτό τι τῶν παρ' Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐδίκαζον οἱ ἕνδεκα· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα περὶ ὅρων. μνημονεύουσι δ' αὐτοῦ ἄλλοι τε τῶν κωμικῶν καὶ Τιμοκλῆς ἐν Ὀρεσταυτοκλείδῃ. ἐκαλεῖτο δέ τις ἐν τοῖς νυμφικοῖς δωματίοις καὶ κλίνη παράβυστος, ἧς μέμνηται Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους. λέγεσθαι δ' ἔοικε ταῦτα κατὰ μεταφορὰν ἀπὸ τῶν ἐν τοῖς φορτίοις παραβυσμάτων, τουτέστι παραπληρωμάτων.

Παραπεπτωκώς: ἀντὶ τοῦ ὑποπεπτωκώς Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου.

Παρακαταβολή καὶ παρακαταβάλλειν: οἱ ἀμφισβητοῦντες χρημάτων τινῶν δεδημευμένων πρὸς τὴν πόλιν καὶ οἱ περὶ κλήρων ἢ ἐπικλήρων πρὸς ἰδιώτας ἀντιδικοῦντες ἀργύριόν τι κατετίθεσαν· καὶ τούτου ἐχρῆν αὐτοὺς στέρεσθαι, εἰ τὴν δίκην ἡττηθεῖεν. ἐπὶ μὲν οὖν τῶν πρὸς τὸ δημόσιον ἀμφισβητήσεων δῆλόν ἐστιν ὅτι τὸ ε' μέρος τοῦ ἀμφισβητουμένου κατετίθετο. περὶ μὲν οὖν τῶν δημοσίων πολλαχοῦ εἴρηται τῷ Λυσίᾳ, ὥσπερ ἔν τε τῷ πρὸς Ἀλκιβιάδην περὶ οἰκίας καὶ ἐν τῷ πρὸς Ἀσωπόδωρον περὶ οἰκίας, περὶ δὲ τῶν κληρικῶν ἄλλοι τε πάλιν εἰρήκασι ῥήτορες καὶ Ὑπερείδης ἐν τῷ περὶ τοῦ Ἱππέως κλήρου δευτέρῳ. Δημοσθένης μέντοι ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ περὶ ἰδίας τινὸς δίκης φησὶ "καὶ μετὰ ταῦτα προσκα-"λεῖται μέν με τὴν δίκην πάλιν, ἐπειδὴ θᾶττον ἀνείλετο τὰς παρα-"καταβολάς."

1. ΠΑΡΑ'ΒΥΣΤΟΝ. οὕτως—οἱ ἕνδεκα. ἐκαλεῖτο δέ—ἧς μέμνηται καὶ Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους (libri Suidæ plerique Προκλέους). λέγεσθαι—παραπληρωμάτων:— 11. περὶ κλήρων ἢ ἐπικλήρων] περὶ κλῆρον ἢ ἐπὶ κλῆρον Phot. 13. τούτου] τοῦτο D. στέρεσθαι] στρέφεσθαι Phot. 15. κατετίθετο· Δημοσθένης μέντοι—παρακαταβολάς:—

4. Ὀρεσταυτοκλείδῃ Maussacus. Libri ὀρεσταντοκλεῖ, quod om. C.

5. Πατροκλέους Maussacus et fortasse C. π̄ροκλέους Ald. et sine lineola B. προκλέου A.

8. Δημοσθένης] 1127, 2.

11. τινῶν] πολλῶν C.

— κλήρων] κλῆρον C.

12. ἰδιώτας] τοὺς ἰδιώτας C.

14. ὅτι om. B.C.

15. περὶ—δημοσίων] περὶ ὧν N.

— πολλαχοῦ] ἀλλαχοῦ B.C.

17. οἰκίας] τῆς οἰκίας C.

— Ἀσωπόδωρον Maussacus. ἀσωπίδωρον A. Ald. ἀσυμπόδωρον B.C.

18. Addidi τοῦ. In A. et Ald. est τῆς.

— Ἱππέως] ἱππέων B.C. ἱππέας Ald.

19. Δημοσθένης] p. 978, 19.

20. καὶ] καὶ ὡς B.C.N.

— προσκαλεῖται] καλεῖται B.C.

21. με om. B.C. Ald.

— παρακαταβολὰς Blancardus. πολλὰς καταβολὰς A.B.C. Ald. κατα-

Παραβάλοιτο: ἀντὶ τοῦ παραπέμψαιτο Αἰσχίνης κατὰ Κτησιφῶντος.

Πάρεδρος: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. πολύ ἐστι τοὔνομα παρά τε τοῖς ῥήτορσι καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶ "λαμβάνουσι δὲ καὶ παρέδρους ὅ "τε ἄρχων καὶ ὁ πολέμαρχος, δύο ἑκάτερος οὓς ἂν βούληται· καὶ οὗ"τοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν, καὶ εὐθύνας "διδόασιν ἐπὰν παρεδρεύσωσιν."

Παρεῖαι ὄφεις: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. παρεῖαι ὀνομάζονταί τινες ὄφεις παρὰ τὸ παρειὰς μείζους ἔχειν, ὡς καὶ Κρατῖνος ἐν τῷ Τροφωνίῳ ὑποσημαίνει. ὁ δὲ Ὑπερείδης ἐν τῷ κατὰ Δημάδου γράφει ταυτί "εἶναι δὲ τοὺς ῥήτορας ὁμοίους τοῖς ὄφεσι· "τούς τε γὰρ ὄφεις μισητοὺς μὲν εἶναι πάντας, τῶν δὲ ὄφεων αὐτῶν "τοὺς μὲν ἔχεις τοὺς ἀνθρώπους ἀδικεῖν, τοὺς δὲ παρείας αὐτοὺς τοὺς "ἔχεις κατεσθίειν."

1. ΠΑΡΑΚΑΤΑΒΑ'ΛΟΙΤΟ (παραβάλοιτα Phot. et Suidas) 3. ΠΑ'ΡΕΔΡΟΣ. Ἀριστοτέλης ἐν τῇ πολιτείᾳ 6. ἑκατέρους Phot. et meliores Suidæ libri. 7. εὐθύνας διδόασιν, ἐπὰν παρεδρεύωσιν· ἔστι δὲ ἡ λέξις συνήθης οὐ τοῖς ῥήταρσι μόνον, ἀλλὰ καὶ τοῖς κωμικαῖς :— 9. ΠΑΡΕΓ'ΑΙ "ΟΦΕΙΣ. ὀνομάζανται τινὲς ὄφεις οὕτως, παρὰ τὸ παρειὰς μείζους ἔχειν· ὁ δὲ Ὑπερίδης ἐν τῷ κατὰ Δημάδαυ φησὶν (φησὶν om. Phot. ἐν τῷ κατὰ Δημάδου φησὶν om. Suidæ codex A.) εἶναι δὲ τοὺς ῥήτορας ὁμοίως τοῖς ὄφεσι· ταύς τε γὰρ ὄφεις— κατεσθίειν :—

βολὰς N. πολλὰς παρακαταβολὰς scripserat Maussacus.

1. ΠΑΡΑΒΑ'ΛΟΙΤΟ A. C. G. παραβάλλοιτο B. Ald.

— κατὰ] ἐν τῷ κατὰ B.C.

3. πολὺ] πολὺ δέ C.

4. καὶ ἐν] κἀν N.

— Ἀριστοτέλης] Comparanda cum his quæ Pollux tradidit 8, 92.

5. δὲ καὶ Epitome. Aberat καί.

6. ἑκάτερος] ἑκατέρους A.B. ἑκάτεροι N.

— βούληται] βούλανται A. βούληνται C. βαύλανται N.

7. παρεδρεύειν] παρεδρεύσωσιν N.

— καὶ] εἶτα N.

8. διδόασιν, ἐπὰν παρεδρεύωσιν] διδοῦσιν ἐπεὶ παρεδρεύουσιν B.C.

8. παρεδρεύσωσιν Bekkerus. Legebatur παρεδρεύωσιν.

9. ΠΑΡΕΙ'ΑΙ "ΟΦΕΙΣ] παρείας ὄφις N.

— Δημοσθένης] p. 313, 25.

— ὑπὲρ] ἐν τῷ ὑπὲρ B.C.

10. καὶ om. B.

11. Ὑπερείδης] Lycurgum ἐν τῷ κατὰ Δημάδου λόγῳ nominat schol. Aristoph. Pl. 690, ut aut alteruter grammaticorum in nomine oratoris errasse aut uterque orator hac imagine usus esse videatur, ut monet Sauppius Fragm. p. 262.

— Δημάδαυ] δημάρχου B.C.

12. ὁμοίους] ὁμοίως A.B.

— ὄφεσι] ὄφισι A.

Παρρησίας: ἀντὶ τοῦ βλασφημίας καὶ λοιδορίας Ἰσοκράτης Βουσίριδι [καὶ περὶ τοῦ ζεύγους].

Παρακροτέεται: ἀντὶ τοῦ ἐξαπατᾷ. πολὺ δ' ἐστὶ παρά τε τοῖς ἄλλοις Ἀττικοῖς καὶ παρὰ Δημοσθένει ἐν τοῖς Φιλιππικοῖς. μέτηκται δὲ τοὔνομα ἀπὸ τοῦ τοὺς ἱστάντας τι ἢ μετροῦντας κρούειν τὰ μέτρα καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν, καὶ ὡς Σοφοκλῆς που

ὡς μήτε κρούσῃς μήθ' ὑπὲρ χεῖλος βάλῃς.

Παρασκήνια: Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. ἔοικε παρασκήνια καλεῖσθαι, ὡς καὶ Θεόφραστος ἐν κ' Νόμων ὑποσημαίνει, ὁ παρὰ τὴν σκηνὴν ἀποδεδειγμένος τόπος ταῖς εἰς τὸν ἀγῶνα παρασκευαῖς. ὁ δὲ Δίδυμος τὰς ἑκατέρωθεν τῆς ὀρχήστρας εἰσόδους οὕτω φησὶ καλεῖσθαι.

Παράσημος ῥήτωρ: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἐκ μεταφορᾶς εἴρηται ἀπὸ τῶν νομισμάτων, ἃ καλοῦσι παράσημα ἤτοι ὅτι ὑποχαράττεται ὑπὸ τῶν ἀργυραμοιβῶν σημείῳ τινὶ ὃ τὴν φαυλότητα δηλοῖ, ἢ ἐπειδὴ παρατετύπωται καὶ παρακεχάρακται. ὅτι γὰρ ἐπὶ νομισμάτων λέγεται τὸ παράσημον δεδήλωκεν ὁ ῥήτωρ ἐν τῷ κατὰ Τιμοκράτους.

Παράστασις: Ἰσαῖος ἐν τῷ περὶ τοῦ Πύρρου κλήρου. τοὔνομα παρὰ πολλοῖς ἐστιν Ἀττικοῖς, ἔστι δὲ δραχμὴ καταβαλλομένη ὑπὸ τῶν δικαζομένων τὰς ἰδίας δίκας· Μένανδρος Μισογύνῃ

2. Βουσίριδι :— 3. πολὺ—Φιλιππικοῖς om. 5. ἀπὸ τῶν ἱστάντων—μετρούντων D. 6. πλεονεκτεῖν :— 8. ΠΑΡΑΣΚΗ´ΝΙΑ. ἔοικε παρασκήνια καλεῖσθαι ὁ παρὰ τὴν σκηνὴν — οὕτως φησὶ καλεῖσθαι :— 14. ἤτοι ὅτι ὑποχαράττεται] οἱ τοιοῦτοι χαράττεται Phot. 16. ἢ om. παρακεχάρακται :— 19. ΠΑΡΑ´ΣΤΑΣΙΣ. τοὔνομα πολὺ παρὰ τοῖς ῥήτορσιν· ἔστι δὲ

1. 2. om. C.

1. Ἰσοκράτης] p. 229 b.

2. καὶ περὶ τοῦ ζεύγους ex cod. Morelli addidit Maussacus et est fortasse in C. Omittunt ceteri.

4. Δημοσθένει] p. 19, 18.

— ἐν τοῖς om. C. τοῖς om. B.

6. Σοφοκλῆς] Fragm. 926.

7. ὑπὲρ χεῖλος Salmasius et Hemsterh. in fine Auctarii Annot. ad Hesychium. Libri ὑπὸ χεῖρα, nisi quod ὑπὸ χειρὸς A.N.P. Hesychius ὡς μήτε κρούσῃς μήθ' ὑπὲρ χεῖλος βαλεῖν (corr. βάλῃς)· παροιμία ἐπὶ τοῦ συμμέτρου τασσομένη. Χεῖλος est labrum, sive summa mensuræ et cujuslibet vasis ora.

7. βάλῃς] βάλλῃς B.C.

8. Δημοσθένης] p. 520, 18.

9. Θεόφραστος] ὁ θεόφραστος A.

— κ'] εἰκοστῷ Ald. αⁿ C. η' B.

10. παρὰ (περὶ Ald.) τὴν σκηνὴν] περὶ τὴν σκευὴν A.

13. Δημοσθένης] p. 307, 26.

14. ἀπὸ om. Ald., ἤτοι om. N.

18. Τιμοκράτους] Legebatur Ἀριστοκράτους (cui λόγῳ addit C.) Est p. 766, 6.

19. Ἰσαῖος] p. 42, 31.

21. δικαζομένων] δικαζόντων B.

ἕλκει δὲ γραμματείδιον
ἐκεῖσε δίθυρον καὶ παράστασις μία
δραχμή.

Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων φησὶν οὕτως "εἰσὶ δὲ γραφαὶ πρὸς αὐτούς, ὧν παράστασις τίθεται, "ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν ξενίαν, καὶ "ψευδεγγραφῆς καὶ ψευδοκλητίας καὶ βουλεύσεως καὶ ἀγραφίου καὶ "μοιχείας." Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τοῖς περὶ νομοθεσίας τοὺς διαιτητάς φησι λαμβάνειν τὰς δραχμὰς μίαν μὲν ἀπὸ τῆς λήξεως, ἣν παράστασιν ἐκάλουν, ἑτέραν δὲ καθ' ὑπωμοσίαν ἑκάστην.

Παραφρυκτωρεῖν: Δείναρχος ἐν τῇ κατὰ Δεινίου ἐνδείξει. τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον χρῆσθαι, τουτέστιν ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων, ἐπὶ βλάβῃ δὲ τῶν φιλίων, οὕτως ἔλεγον, ὡς αὐτὸς ὁ ῥήτωρ ἐν τῷ λόγῳ αὐτὸ ἐξηγήσατο.

1. γραμματίδιον 4. περὶ τῶν θεσμοθετῶν λέγων φησίν εἰσὶ δὲ— 6. ἀποφύγῃ (ἀποφύγοι Phot.) 7. ψευδοκλητίας] ψευδοκλησίας libri Suidæ deteriores. καὶ ...φίου (sic etiam Photii codex. καὶ γραφίου Suidas. καὶ ἀργυρίου D.) 9. λαμβάνειν] λαχεῖν Suidas. ἀπὸ] ὑπὸ Suidas. 10. καθ' ὑπωμοσίαν] κατὰ (κατὰ om. D.) ὑπωμοσίου (sic etiam Phot. Apud Suidam nunc καθ' ὑπωμοσίαν. Sed ed. Mediol. κατὰ ὑπωμοσίου, quod fortasse etiam in codicibus est.) 11. ΠΑΡΑΦΡΥΚΤΩΡΕΓΝ. τὸ τοῖς φρυκτοῖς 13. πολεμίων, ἐπὶ (ἐπὶ om. Phot.) βλάβῃ δὲ τῶν φιλίων, ὡς καὶ Δείναρχος ἐν οἰκείῳ λόγῳ̊ν (λόγων Phot. et Suidas) ἐχρήσατο:—

1. γραμματείδιον N. γραμματίδιον C. Ald. γραμματεῖον A. γραμμάτιον B. "De γραμματειδίῳ διθύρῳ, quo significatur *duarum plagularum liber judicialis*, πινάκιον δικαστικὸν, vid. Hemsterh. ad Polluc. vol. 2. p. 1215. et Observat. Miscell. vol. 5. 1. p. 18." MEINEK. Com. vol. 4. p. 167.

4. Ἀριστοτέλης] De loco Aristotelis diximus s. v. δωροξενία.

— ἐν] ἐν τῇ B.C.

— περὶ om. B.

— τῶν et λέγων addidi ex Epitome.

6. τις om. C.

7. ψευδεγγραφῆς] ψευδογραφῆς B.C. Ald.

— ἀγραφίου Jungermannus ad Polluc. 8, 88. Libri ἀργυρίου, quod pravum est lacunæ supplementum, ut Epitomes scriptura ...φίου (γραφίου Suidas) osteudit.

9. τὰς] δύο Portus.

11. ἐν τῇ Maussacus. Libri ἐν τῷ.

12. χρῆσθαι] κεχρῆσθαι A. Ald.

— ἐπὶ σ.] ἐπὶ τῷ σ. C.

13. ἐπὶ ante βλάβῃ om. B.C.

— αὐτὸς ὁ ῥήτωρ] Legebatur ὁ αὐτὸς ῥήτωρ.

14. αὐτὸ A. αὐτῷ Ald. αὐτοῦ B. C. Id vel αὐτοῦ legisse videtur Epitomator, qui ἐν οἰκείῳ λόγῳ scripsit. Sed fortasse delendum pronomeu est.

— ἐξηγήσατο] Verbis ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων, ἐπὶ βλάβῃ δὲ τῶν φιλίων, quæ Diuarchi esse recte conjicit Sauppius Fragm. p. 330.

Παρεγγύησεν καὶ παρεγγυηθέντος: Ἰσαῖος ἐν τῇ πρὸς Διοφάνην ἐπιτροπῆς ἀπολογίᾳ φησὶ "τὸ μὲν παρὼν, τὸ δὲ παρ' ἑτέρων "μεταλαβεῖν παρεγγύησεν," ἀντὶ τοῦ παρέδωκεν ἐντειλάμενος ἑκατέρῳ, τῷ μὲν λαβεῖν, τῷ δὲ δοῦναι. καὶ πάλιν φησὶ "τὰ μὲν ἐμοῦ "διαλύσαντος, β' τάλαντα καὶ λ' μνᾶς, τὰ δὲ τοῦ γεωργοῦ παρεγ-"γυηθέντος" ἀντὶ τοῦ παραλαβόντος.

Παρελθεῖν: ἀντὶ τοῦ νικῆσαι Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

Παρουσία: ἀντὶ τοῦ περιουσία ἢ αἰτία πλούτου οὐσία· Δημοσθένης ἐν τῷ περὶ συντάξεως καὶ Δείναρχος ἐν τῷ ὑπὲρ τῆς νεώς. καὶ Κράτης Θηρίοις

ἔχοντες εὐπαθῆ βίον
παρουσίαν τε χρημάτων.

Παρράσιος: Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. ὅτι μὲν

1. ΠΑΡΕΓΓΥΉΣΕΝ καὶ ΠΑΡΕΓΓΥΗΘΈΝΤΟΣ. *παρεγγύησεν μὲν ἀντὶ τοῦ παρέδωκεν* Ἰσαῖος· *καὶ παρεγγυηθέντος δὲ ἀντὶ τοῦ παραλαβόντος ὁ αὐτός*:— 7. Δ.] Δ. *ἐν τῷ* (*ἐν τῇ τοῦ* Phot.) 8. ΠΑΡΟΥΣΊΑ. *ἀντὶ τοῦ περιουσία, ἤτοι ἡ αἰτία τοῦ πλούτου* (*ἡ* addit Phot.) *οὐσία· Δημοσθένης ἐν τῷ περὶ συντάξεως καὶ Κράτης·* Ἔχοντες *εὐπαθῆ βίον, παρουσίαν* (*περὶ οὐσίαν* D.) *τε χρημάτων*:— 13. ΠΑΡΑΣΙΟΣ. *ὅτι μὲν ζωγράφος οὗτος δῆλον· φασὶ δὲ αὐτὸν υἱὸν εἶναι καὶ μαθητὴν* Εὐήνορος, Ἐφέσιον *δὲ τὸ γένος*:—

1. et 3. ΠΑΡΕΓΓΥΉΣΕΝ Harpocratio ipse sine augmento scripsisse videtur. Sed debebat *παρηγγύησεν* scribere, quod Bekkerus posuit. De re conf. Schœmann. de lite Att. p. 521.

1. ΠΑΡΕΓΓΥΗΘΈΝΤΟΣ ex Epitome pro *παρεγγυηθέντας*. *παρεγγυηθέντες* B.C.

— *ἐν τῇ*] *ἐν τῷ* A.B.

2. *τὸ μὲν—μεταλαβεῖν* om. C.

— *παρὼν* Sauppius Fragm. p. 233. Libri *παρόν*. "Numeravit "partem pecuniæ ipse præsens, re-"liqua ut ab aliis numerarentur "perscriptionem dedit." SAUPP.

— *τὸ δὲ*] *τόδε* B. Ald.

3. *μεταλαβεῖν*] *λαβεῖν* B.G.

4. *δοῦναι*] *διδόναι* C G.

5. *διαλύσαντος* N. Ceteri *διαλύσαντας*.

— *γεωργοῦ*] *γεωργίου* N.

— *παρεγγυηθέντος—παραλαβόντος*] *παρεγγυηθέντες—παραλαβόντες* B.C.

7. *νικῆσαι — παρουσία ἀντὶ τοῦ* om. C.

— *Δημοσθένης* (*διογένης* B.)] p. 227, 20.

8. *ἢ*] *ἡ* B.C. Ald.

— *Δημοσθένης*] p. 166, 11. *ὡς ἑκάτερος χρείας καὶ περιουσίας ἔχουσιν.* ubi codex Paris. S. primo habuit *περουσίας*, Harpocratio autem *παρουσίας* legisse videtur, ut monuit Schæferus, collatis Platonis comici verbis (ap. Phot. et Suidam s. v. *παρουσία*), *ὡς καὶ νῦν ἔχομεν παρουσίας*.

9. *ὑπὲρ*] *περὶ* C.

10. *καὶ Κράτης* ex Epitome additum.

— *Θηρίοις*] *θηρία* B.C.

11. *βίον*] *βίου* C.

12. *παρουσίαν*] *παρουσία* B.C.

13. Ἰσοκράτης] p. 310 b.

ζωγράφος Παρράσιος παντὶ δῆλον· Ἰόβας δὲ ἐν η′ περὶ ζωγράφων διεξέρχεται τὰ περὶ τὸν ἄνδρα, φησὶ δ' αὐτὸν εἶναι υἱὸν καὶ μαθητὴν Εὐήνορος, Ἐφέσιον δὲ τὸ γένος.

Πασῖνος: Ἰσοκράτης Αἰγινητικῷ. ὄνομα κύριον.

Πασίων: ὄνομα κύριον, τραπεζίτης.

Παταικίων: ὄνομα κύριον, κλέπτης καὶ τοιχωρύχος.

Πεδιακά: Λυσίας ἐν τῷ κατὰ Φιλίππου ἐπιτροπῆς, εἰ γνήσιος ὁ λόγος. ἔστι μοῖρα τῆς Ἀττικῆς, ἣ ἀπὸ τοῦ συμβεβηκότος ἐκαλεῖτο Πεδίον· εἶχε δὲ καὶ προβάτων νομάς, καὶ τὰ ἐντεῦθεν, ὡς ἔοικεν, ἐκαλεῖτο Πεδιακά. ἔστι δὲ καὶ παρ' ἄλλοις ῥήτορσι τοὔνομα.

Πεδάριτος: Ἰσοκράτης ἐν τῷ Ἀρχιδάμῳ. τῶν ἐκ Λακεδαίμονος ἐκπεμφθέντων ἐστὶν οὗτος, ἁρμοστὴς ἀνήρ, τῶν γεγονότων καλῶν, ὥς φησι Θεόπομπος ἐν β′ Ἑλληνικῶν.

4. ΠΑΣΙ'ΝΟΣ (Πασῖνος Phot. et Suidas). ὄνομα κύριον :— 5. ΠΑΣΙ'ΩΝ· ὄνομα τραπεζίτου :— 6. ΠΑΤΑΙΚΙ'ΩΝ (Πατταικίων Suidas. Πατηκίων Phot.). ὄνομα κλέπτου καὶ τοιχωρύχου :— 7. ΠΕΔΙΑΚΑ' (πεδικά Phot. et Suidas). μοῖρα τῆς Ἀττικῆς· ἐκαλεῖτο δὲ οὕτως ἀπὸ τοῦ συμβεβηκότος· εἶχεν δὲ (δὲ om. Phot. εἶχε—ῥήτορσιν om. Suidæ codex A.) καὶ προβάτων νομάς· ἔστι τὸ ὄνομα παρά τε Λυσίᾳ καὶ παρ' ἄλλοις ῥήτορσιν :— 11. ΠΑΙΔΑ'ΡΙΤΟΣ. τῶν ἐκ—ἀνὴρ εἷς τῶν—καλῶν :—

1. παντὶ] πάντη A. Ald.

— Ἰόβας] ἰόκας A. Ald. ἴωκας B.

3. Εὐήνορος] Sic etiam Pausan. 1, 28, 2.

4. ΠΑΣΙ'ΝΟΣ ex Epitome pro Πασίνους. Apud Isocratem p. 387 d., ubi vulgo πᾶσιν οὓς, ex cod. Urbinate Πασῖνος restitutum, ut ex Suida correxerat Meursius Lect. Att. 2, 10. Neutra nominis forma aliunde cognita.

5. 6. om. C.

5. ΠΑΣΙ'ΩΝ] Apud Demosthenem locis plurimis.

— ὄνομα κύριον] ὁ A.B.

— τραπεζίτης] τραπεζίτου Ald.

6. ΠΑΤΑΙΚΙ'ΩΝ] Apud Æschinem p. 81, 9. παττακίων A.

— κύριον om. A.B.

8. ὁ λόγος. ἔστι μοῖρα—] Legebatur ὁ λόγος ἐστί. μοῖρα— In aliis locis, ubi vulgo simpliciter, εἰ γνήσιος, codex A. interdum addit ὁ λόγος, vel ὁ λόγος ἐστίν (s. v. ὑπόλογον). Idem hic ἐστὶν vulgo post Ἀττικῆς lectum omittit. His indiciis ἐστί, vulgo cum ὁ λόγος conjunctum, mutata interpunctione ad sequentia rettuli, etsi in plena locutione εἰ γνήσιος ὁ λόγος ἐστί, qua Harpocratio utitur s. v. προθεσμίας νόμος, et ὑπερήμεροι, per se nihil reprehendendum.

— ἣ addidi cum Toupio.

9. καὶ τὰ] καὶ διὰ τὰ B.

10. ἔστι] ἔτι C.

— δὲ om. A. Ald.

11. ΠΕΔΑ'ΡΙΤΟΣ] Sic legitur apud Isocratem p. 127 a. Epitome Παιδάριτος contra seriem literarum. Veram nominis formam Παιδάρητος esse judicat Valcken. ad Theocriti Adoniaz. p. 261.: de quo v. Thesaur. vol. 6. p. 643.

— Ἀρχιδάμῳ] περὶ ἀρχιδάμου B. C.

Πεζέταιροι: Δημοσθένης Φιλιππικοῖς. Ἀναξιμένης ἐν α΄ Φιλιππικῶν περὶ Ἀλεξάνδρου λέγων φησὶν "ἔπειτα τοὺς μὲν ἐνδοξοτάτους ἱππεύειν συνεθίσας ἑταίρους προσηγόρευσε, τοὺς δὲ πλείστους καὶ τοὺς πεζοὺς εἰς λόχους καὶ δεκάδας καὶ τὰς ἄλλας ἀρχὰς διελὼν πεζεταίρους ὠνόμασεν, ὅπως ἑκάτεροι μετέχοντες τῆς βασιλικῆς ἑταιρίας προθυμότατοι διατελῶσιν ὄντες."

Πέλανος: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. πολλάκις ἐστὶ τοὔνομα παρὰ πολλοῖς τῶν ἀρχαίων. Ἀπολλώνιος δ' ὁ Ἀχαρνεὺς ἐν τῷ περὶ τῶν ἑορτῶν οὕτω γράφει "ὁμοίως δὲ καὶ ὁ προσαγορευόμενος πέλανος. λέγεται δὲ πέμματά τινα τοῖς θεοῖς γινόμενα ἐκ τοῦ ἀφαιρεθέντος σίτου ἐκ τῆς ἅλω." Σαννυρίων δ' ἐν Γέλωτί φησι

πέλανον * * * * *
ἃ καλεῖτε σεμνῶς ἄλφιθ' ὑμεῖς οἱ βροτοί.

Δίδυμος δὲ κυρίως φησὶ τὸ ἐκ τῆς παιπάλης πέμμα, ἐξ ἧς ποιοῦνται

1. ΠΕΖΕ'ΤΑΙΡΟΙ (πεζαίτεροι Suidas). Δημοσθένης ἐν Φιλιππικοῖς· Ἀναξιμένης δὲ ἐν α΄ Φιλιππικῶν περὶ Ἀλεξάνδρου λέγων φησίν· ἔπειτα τοὺς μὲν ἐνδοξοτάτους ἱππεύειν συνεθίσας (ἐθίσας D.) ἑτέρους (ἑταίρους Phot. et Suidas) προσηγόρευσεν,—διελὼν, πεζετέρους (παιζετέρους D. πεζεταίρους Phot. πεζαιτέρους Suidas) ὠνόμασεν, ὅπως ἑκάτεροι μετέχοντες τῆς βασιλικῆς ἑταιρίας προθυμώτατα (προθυμότατα Phot. Inter has duas scripturas et προθυμότατοι, quod est in D., variant libri Suidæ.) διατελῶσιν ὄντες:— 7. ΠΕΛΑΝΟ'Σ (πέλανος Suidas). γίνεται πέμματά τινα τοῖς θεοῖς ἐκ τοῦ ἀφαιρεθέντος ἤτοι ἐκ τῆς ἅλω. 11. Σαννυρίων—βροτοί om. 14. Δίδυμος δέ φησι κυρίως εἶναι πέλανον (πελανὸν Phot.) τὸ ἐκ τῆς πετάλης (πάλης D. παιπάλης Suidas) πέμμα, ἐξ ἧς ποιοῦνται πέμματα· ἢ καὶ ἀπὸ τοῦ πεπλατύνθαι· ἢ ὅτι λευκόν ἐστιν, ἢ διὰ τὸ φανὸν εἶναι, ὅ ἐστι λευκόν· Εὐριπίδης—φησίν· εὐδομοξεν (εὖ δ' ὅμορξεν Phot. ἐκ δ' ὅρμοξον D. ἐκ δ' ὅμορξον Suidas) ἀθλίου στόματος

1. ΠΕΖΕ'ΤΑΙΡΟΙ Epitome. πεζαίτεροι B.C. πεζαίτερος A.D. Ald.
— Δημοσθένης] p. 23, 2.
— ἐν α΄] ἐν πρώτῳ Ald. ἐν α" C.
3. ἱππεύειν] ἱππεῦσι B.C.
4. εἰς] ἐς A.
5. διελὼν] διελθὼν B.
— πεζεταίρους] πεζαιτέρους A.C. Ald.
6. ἑταιρίας] ἑταιρείας B.
7. ἐστὶ τ.] τ. ἐστὶ B.
8. Ἀπολλώνιος ὁ Ἀχαρνεὺς] Hunc scriptorem memorant Harpocratio infra s. v. Πυανόψια et Χαλκεῖα et schol. Aristoph. Nub. 407.
11. ἐκ τῆς—ὅ ἐστι λευκόν om. C.
11. Σαννυρίων addidit Maussacus. In libris est lacuna.
— φησι om. B.
12. πέλανον —] Lacunam post πέλανον, quam libri relicto spatio vacuo indicant, Casaubonus Animadv. in Athen. p. 321. explevit insertis verbis καλοῦμεν ἡμεῖς οἱ θεοί.
13. καλεῖτε (καλεῖται A.B.) σεμνῶς] καλεῖτ' ἀσέμνως conjici posse monet Meinek. Com. vol. 2. p. 873. lenius quam καλεῖτε γυμνῶς, quod proposuerat Lobeck. Aglaoph. p. 868.
14. παιπάλης Maussacus. Libri πάλης.

πέμματα, ἢ καὶ ἀπὸ τοῦ πεπλατύνθαι, ἢ ὅτι λευκά ἐστιν· Ὅμηρος

ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας.

ἢ διὰ τὸ φανὸν εἶναι, ὅ ἐστι λευκόν. Εὐριπίδης *μέντοι ἐν τῷ Ὀρέστῃ ἰδίως φησὶν*

ἐκ δ' ὀμόρξον ἀθλίου
στόματος ἀφρώδη πέλανον.

ὅπερ τὸν ἐπὶ τοῦ στόματος ἀφρὸν δηλοῖ.

Πεντακοσιομέδιμνον: *Λυσίας ἐν τῷ περὶ τῆς Ὀνομακλέους θυγατρός. ὅτι δ' τέλη ἐποίησεν Ἀθηναίων ἁπάντων Σόλων, ὧν ἦσαν καὶ οἱ πεντακοσιομέδιμνοι, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.*

Πεπάρηθος: *Δημοσθένης ἐν τῷ ὑπὲρ* Κτησιφῶντός *φησι "καὶ "τὴν Πεπαρήθου πόρθησιν." νῆσός ἐστιν αὕτη οὐκ ἄποθεν* Εὐβοίας.

Πείσων: *Λυσίας ἐν τῷ κατ' Ἐρατοσθένους. εἷς τῶν λ' τῶν παρ' Ἀθηναίοις τυραννησάντων.*

Πενέσται: *Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους.* Πενέσται *παρὰ Θετταλοῖς καλοῦνται οἵπερ παρὰ Λακεδαιμονίοις* Εἵλωτες· Ξενοφῶν *γοῦν ἐν γ' Ἑλληνικῶν φησιν ἐπί τινος "καὶ τοὺς* Πενέστας *"ὥπλισεν ἐπὶ τοὺς δεσπότας." διείλεκται δὲ περὶ αὐτῶν ἐπὶ πλέον* Στάφυλος *ἐν τῇ γ' περὶ Θετταλῶν. οὐ μόνον δὲ αὐτοὺς* Πενέστας *καλεῖσθαί φησιν, ἀλλὰ καὶ Θετταλίκτας.*

ἀφρώδη πέλανον (πελανὸν D. et Phot.), *ὅπερ τὸν ἀπὸ (ἐπὶ* Phot. et Suidas) *τοῦ στόματος ἀφρὸν δηλοῖ* :— (*ὅπερ—δηλοῖ* om. D.)
8. ΠΕΝΤΑΚΟΣΙΟΜΕ'ΔΙΜΝΟΝ] *πεντακόσιον ἔδιμνον* E.T. *Λυσίας—ὅτι* om. 9. *πάντων ὁ Σόλων, ὧν ἦν ἐν τέλος καὶ οἱ* (*οἱ* om. D.) *π.* (*πεντακόσιοι μέδιμνοι* E.T.) :— 12. ΠΕΠΑ'ΡΗΘΟΣ (*-ιθος* E.T.). *νῆσος οὐκ ἄποθεν Εὐβοίας* :— 14. ΠΕΙ'ΣΩΝ. *εἷς τῶν παρὰ Ἀθηναίοις τριάκοντα τ.* :— 16. ΠΕΝΕ'ΣΤΑΙ. *Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους· Πενέσται δὲ παρὰ Θετταλοῖς καλοῦνται οἱ παρὰ Λακεδαιμονίοις Εἵλωτες· οὐ μόνον δὲ αὐτοὺς Πενέστας καλεῖσθαί φησιν, ἀλλὰ καὶ Θετταλικάς* :— *πενεσταὶ* et *πενεστὰς* E.T.

1. *ἢ ὅτι* ex Epitome pro *ἢ ὅτι καί.*
2. *Ὅμηρος*] Il. 10, 7.
3. *ὅτε πέρ τε*] *ὅτ' ἐπέρχεται* A.
4. *Ὀρέστῃ*] v. 219.
8. ΠΕΝΤΑΚΟΣΙΟΜΕ'ΔΙΜΝΟΝ] *πεντακοσιομέδιμνοι* A. Ald.
9. *δ'*] *τέτταρα* C. *τέσσαρα* Ald.
10. *ἐν*] *ἐν τῇ* B.C.
12. *Δημοσθένης*] p. 248, 5.
13. *Εὐβοίας*] *τῆς εὐβοίας* C.
14. *Λυσίας*] p. 120, 34.
— *τῶν* post λ' additum ex C.
16. *Δημοσθένης*] p. 687, 2.
18. *ἐν γ'* (*γ*ⁿ C. *τρίτῃ* Ald.)] Immo 2, 3, 36.
19. *ἐπὶ πλέον Στ.*] *στ. ἐπὶ πλέον* C.
20. *γ'*] *δ̄* A.
21. *Θετταλίκτας*] Legebatur *θετταλικέτας*, quod in *θετταλαικέτας* de-

Πεντηκόνταρχος: ὁ τῆς πεντηκοντόρου ἄρχων, ὡς δηλοῖ Δημοσθένης ἐν τῷ περὶ τοῦ ἐπιτριηραρχήματος. ὅτι δὲ πεντηκόντορος ἐκαλεῖτο ἡ ναῦς ἡ ὑπὸ ν' ἐρεσσομένη πρόδηλον.

Πεντηκοστή καὶ πεντηκοστεύεσθαι καὶ πεντηκοστολόγοι: πεντηκοστὴ μὲν τέλος τι καὶ πεντηκοστολόγοι οἱ τοῦτο τὸ τέλος ἐκλέγοντες, πεντηκοστεύεσθαι δὲ τὸ πράττεσθαι τὴν πεντηκοστήν. ταῦτα δ' ἔστιν εὑρεῖν ἔν τε τῷ κατὰ Μειδίου καὶ ἐν τῷ πρὸς τὴν Λακρίτου παραγραφὴν Δημοσθένους, καὶ Ὑπερείδου ἐν τῷ περὶ τῶν Εὐβούλου δωρεῶν.

Πέπλος: Ἰσαῖος ἐν τῷ περὶ τῶν ἐν Μακεδονίᾳ ῥηθέντων· περὶ τοῦ πέπλου τοῦ ἀναγομένου τῇ Ἀθηνᾷ τοῖς μεγάλοις Παναθηναίοις οὐ μόνον παρὰ τοῖς ῥήτορσίν ἐστι μνήμη, ἀλλὰ καὶ παρὰ τοῖς κωμικοῖς.

Περγασῆθεν: Ἰσαῖος ἐν τῷ κατὰ Θουτίμου. Περγασὴ δῆμος

1. ΠΕΝΤΗΚΟ'ΝΤΑΡΧΟΣ. *ὁ τῆς πεντηκοντόρου ἄρχων· ἐκαλεῖτο δὲ πεντηκόντορος ἡ ὑπὸ πεντήκοντα ἐρεσσομένη ναῦς*:— 4. ΠΕΝΤΗΚΟΣΤΗ' *καὶ* ΠΕΝΤΗΚΟΝΤΕΥ'ΕΣΘΑΙ *καὶ* ΠΕΝΤΗΚΟΣΤΟΛΟ'ΓΟΙ. *πεντηκοστὴ μὲν τὸ τέλος ὃ τελοῦσι· πεντηκοστολόγοι δὲ οἱ τοῦτο* (*δὲ οἱ τὸ* Phot., qui verba *πεντηκοστολόγοι —ἐκλέγοντες* infra habet ante *ταῦτα δέ*) *ἐκλέγοντες. πεντηκοστεύεσθαι δὲ τὸ πράττεσθαι τὴν πεντηκοστήν. ταῦτα δὲ ἔστιν εὑρεῖν ἐν τῷ κατὰ Μειδίου* (*μηδίου* E.T.) *καὶ ἐν τῷ πρὸς τὴν Λακρίτου παραγραφὴν Δημοσθένης· καὶ Ὑπερίδης ἐν τῷ περὶ* (*τῶ ὑπὲρ* Phot.) *τῶν Εὐβούλου δωρεῶν*:— 10. *Ἰσαῖος—ῥηθέντων* om. 12. *ἐστι μνήμη*] *ἔστιν ἡ μνήμη* 13. ΠΕΡΓΑΣΗ'ΘΕΝ. *δῆμος ἡ Περγάση* (*Περγασὴ* Suidas) *τῆς Ἐρεχθηΐδος* (*φυλῆς* addit Phot.)

pravatum in B. ut ap. Athen 6. p. 264 a. Sed *θετταλικάς* Epitome, quod proxime abest ab vera scriptura, quam Bernhardyus restituit ad Suidam vol. 2. p. 176.

1. ΠΕΝΤΗΚΟ'ΝΤΑΡΧΟΣ] De hoc vocabulo parum accurate egit Harpocratio. Nam neque de *πεντηκοντόρῳ* sermo est apud Demosthenem p. 1212, 5. 20. 1214, 12. 1215, 1., sed de triremi, nec *πεντηκόνταρχος* est *ὁ τῆς πεντηκοντόρου ἄρχων*, sed is qui in triremi quinquaginta præest remigibus sub trierarcho (trierarchi subcenturio, ut interpretatur Reiskius in Indice in Demosthenem): de quo dixit Boeckh. Œc. vol. 3. p. 120.

— ΠΕΝΤΗΚΟ'ΝΤΑΡΧΟΣ — *ὅτι*] *πεντηκόντορος ναῦς ἐν τῷ περὶ τριηραρχήματος* (*τριηραρχήματος* etiam B.) *δηλοῖ δημοσθένης. ὁ τῆς πεντηκοντόρου ἄρχων. ὅτι* C.

1. ΠΕΝΤΗΚΟ'ΝΤΑΡΧΟΣ] *ναῦς* addit B.

5. *τι*] *ἐστὶ* C.

6. *δὲ τὸ* Epitome. *δέ ἐστι τὸ* A. *δὲ ἀντὶ τοῦ* B.C. Ald.

7. *ἔστιν* post *εὑρεῖν* C.

— *ἔν τε*] *καὶ ἐν* B. *τε* om. C.

— *κατὰ Μειδίου*] p. 568, 12.

8. *Δημοσθένους* (*δημοσθένης* A.)] p. 932, 27.

— *καὶ* om. A.

— *Ὑπερείδου*] *ὑπερίδης* C.

10. *Ἰσαῖος ἐν τῷ* om. B.C.

11. *ἀναγομένου*] *ἐναγομένου* B.

13. ΠΕΡΓΑΣΗ'ΘΕΝ — *Θουτίμου* om. C.

— *Θουτίμου*] *θεοτίμου* B. Ald.

— *Περγασὴ*] *περγάση* B. Ald.

τῆς Ἐρεχθηΐδος· τὸν μέντοι δημότην διχῶς λέγεσθαί φασι, Περγασέα τε καὶ Περγασῆθεν.

Περίανδρος: ὄνομα κύριον.

Περὶ τῆς ἐν Δελφοῖς σκιᾶς: Δημοσθένης Φιλιππικοῖς. Δίδυμός φησι τὴν περὶ ὄνου σκιᾶς παροιμίαν παραπεποιῆσθαι ὑπὸ τοῦ ῥήτορος λέγοντος περὶ τῆς ἐν Δελφοῖς σκιᾶς, λέγεσθαι δ' αὐτὴν ἐπὶ τοῖς περὶ τῶν μηδενὸς ἀξίων μαχομένοις.

Περιθοΐδαι: Δημοσθένης ἐν τῷ πρὸς Πολυκλέα. δῆμός ἐστι τῆς Οἰνηΐδος.

Περίλαος: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ἔστι δὲ ὄνομα κύριον.

Περίοδος: Δημοσθένης Φιλιππικοῖς φησὶν "ἐπεὶ ὅτι γε ὥσπερ "περίοδος ἢ καταβολὴ πυρετοῦ." περιοδικὰ νοσήματα καλοῦσιν οἱ ἰατροὶ τὰ τεταγμένως ἀνιέμενα καὶ αὖθις ἐπιτεινόμενα, οἷον τριταίους καὶ τεταρταίους· καὶ γὰρ ἐπὶ τούτων οἱ κάμνοντες δοκοῦσιν ἐν ταῖς τῶν ἀνέσεων ἡμέραις μηδὲν νοσεῖν, ἀλλ' ὑγιεῖς εἶναι.

Περιοίκιον: Ἰσαῖος ἐν τῷ πρὸς Μενεκράτην "καὶ τὸ περιοίκιον "καὶ τὴν οἰκίαν." μήποτε ὃ ἡμεῖς λέγομεν ἐποίκιον.

Περίπολος: Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ περὶ τῶν ἐφήβων λέγων φησὶν οὕτως

3. om. 4. Φιλιππικοῖς] ἐν Φιλιππικοῖς Phot. 8. Δ.—Πολυκλέα et ἐστι om. 9. Οἰνηΐδος] οἰνυΐδος E.T. ut alibi ἐρεχθυΐδος. Οἰνηΐδος φυλῆς Phot. et Suidas in initio alius glossæ. 10. ΠΕΡΙΛΑΟΣ (Περίλλος Suidas). Δ. ἐν τῷ ὑπὲρ Κτ. ὄνομα κύριον :— 12. ΠΕΡΙΟΔΟΣ. Δημοσθένης Φιλιππικοῖς (ἐν φ. D.). περιοδικὰ νοσήματα 13. ἐπιγιγνόμενα (ἐπιγινόμενα Phot. et Suidas), οἷον τριταίους, τεταρταίους καὶ τὰ ὅμοια· καὶ γὰρ ἐπὶ τούτων οἱ κάμνοντες δοκοῦσιν ἐν ταῖς τῶν ἀνέσεων ἡμέραις μηδὲ νοσεῖν, ἀλλ' ὑγιεῖς εἶναι :— 18. ΠΕΡΙΠΟΛΟΣ. Ἀριστοτέλης ἐν τῇ Ἀ.—λέγων οὕτως φησὶν

1. φασι] φησι A. Ald.

3. Hanc gl. et quattuor proximas om. C.

— ΠΕΡΙΑΝΔΡΟΣ] Duos hoc nomine viros memoravit Demosthenes, alterum p. 1009, 26., alterum p. 1145, 16.

— Δημοσθένης (p. 63. extr.)—σκιᾶς om. A.

8. ΠΕΡΙΘΟΙΔΑΙ] περιθοῖ B.

— Δημοσθένης] p. 1219. ubi Μνησίλοχος ὁ Περιθοίδης.

9. ΠΕΡΙΛΑΟΣ] Legebatur Περίλλος, quod saltem Πέριλλος scribendum foret cum Epitome. Restitui Περίλαος ex Demosthene p. 242, 2. 324, 15. 435. extr.

11. Δημοσθένης] p. 118. 20.

12. ἢ] ἡ A. B. Ald.

— πυρετοῦ] τοῦ πυρετοῦ N.

13. ἐπιτεινόμενα Dobræus Advers. 1. p. 588. Libri ἐπιγινόμενα.

14. τούτων] τούτοις B.

15. τῶν om. B.

18. Αἰσχίνης] p. 50, 32.

— πρεσβείας] παραπρεσβείας Ald.

19. ἐν Ἀ.] ἐν τῇ ἀ. C.

— οὕτως] ὅπως C.G.

" τὸν δεύτερον ἐνιαυτὸν ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης ἀποδεξά- " μενοι τῷ δήμῳ περὶ τὰς τάξεις καὶ λαβόντες ἀσπίδα καὶ δόρυ " παρὰ τοῦ δήμου περιπολοῦσι τὴν χώραν καὶ διατρίβουσιν ἐν τοῖς " φυλακτηρίοις." παρατηρητέον οὖν ὅτι ὁ μὲν Ἀριστοτέλης ἕνα φησὶν ἐνιαυτὸν ἐν τοῖς περιπόλοις γίγνεσθαι τοὺς ἐφήβους, ὁ δὲ Αἰσχίνης δύο· καὶ τάχα διὰ τοῦτο ἐπεμνήσθη τοῦ πράγματος ὁ ῥήτωρ, καίπερ πάντων τῶν ἐφήβων ἐξ ἀνάγκης περιπολούντων, ὅτι αὐτὸς δύο ἔτη γέγονεν ἐν τοῖς περιπόλοις· διὸ καὶ μαρτυρῶν ἐδήλωσεν αὐτό.

Περίστατοι: Ἰσοκράτης περὶ τῆς ἀντιδόσεως " θαυματοποιίαις " ταῖς οὐδὲν ὠφελούσαις, ὑπὸ δὲ τῶν ἀνοήτων περιστάτοις γινομέ- " ναις" ἀντὶ τοῦ περὶ ἃς κύκλῳ ἵστανται οἱ θεώμενοι. τὸ ὄνομα καὶ ἐν Ἀρχιδάμῳ ἐστὶ καὶ παρ' Εὐπόλιδι ἐν Κόλαξιν.

Περίστασιν: Δείναρχος Τυρρηνικῷ " μετὰ ταῦτα τοῦ Δάμωνος " ἤδη περὶ ἀναγωγὴν ὄντα με περίστασιν ποιησαμένου καὶ μαρτυρεῖν " ἀξιοῦντος" καὶ τὰ ἑξῆς. μήποτε τοιοῦτόν ἐστι τὸ λέγομενον, ἐν

1. γινομένης λαβόντες ἀσπίδα 4. οὖν] δὲ 5. γίνεσθαι—δύο:— 10. Ἰσοκράτης ἐν τῷ περὶ 12. θεώμενοι:— 14. ΠΕΡΊΣΤΑΣΙΝ. Δείναρχος Τυραννικῷ (τυρηνικῷ D. Τυρρηνικῷ Phot. et Suidas) 15. ὄντα με] ὄντος Phot. et Suidas ποιησαμένου] ποιήσουσιν οὗ

1. γενομένης] γινομένης C. Ald.

2. τῷ δήμῳ περὶ] παρὰ τοῦ δήμου Valesius. Quod parum probabile est, quum statim sequatur παρὰ τοῦ δήμου.

3. τοῖς om. C.

4. παρατηρητέον—δύο] Errat procul dubio grammaticus ex loco allato colligens Aristotelem putasse juvenes per unum tantum annum circuitorum munere functos esse. Verba τὸν δεύτερον ἐνιαυτὸν intellexerit annum secundum τῆς ἥβης, per eumque juvenes peripolos fuisse putaverit. Intelligenda autem verba sunt de concione quæ habebatur exeunte τῆς ἥβης biennio, quod excipiebat alterum biennium τῶν περιπόλων. MUELLER. Fragm. Hist. vol. 2. p. 112.

— οὖν] μὲν οὖν C.

— ὁ μὲν om. B.C.

4. ὅτι addidit Bekkerus.

5. ἐν addidit Jungerm. ad Polluc. 8, 105.

9. αὐτό] αὐτῷ A. Ald.

10. Hanc gl. om. C.

— Ἰσοκράτης] p. 486. §. 288. ed. Bekk. Oxon.

11. ταῖς om. B.

— δὲ om. A. Ald.

— γινομέναις] γινομένοις A.B. Ald.

12. καὶ ἐν] καὶ οἱ ἐν A.

13. Ἀρχιδάμῳ] p. 135 e.

14. Τυρρηνικῷ] τυρηνικῷ Ald. τυραννικῷ B.

15. περὶ ἀναγωγὴν] περιαγωγὴν B. C.

— ποιησαμένου Bekkerus. ποιήσουσιν οὗ A. Ald. ποιήσουσιν οἷς B. C.G. ποιήσαντος N.

16. μήποτε—] Explicatione grammaticis hoc egere visum est, quod Damo unus *circumstetisse* eum, qui

κύκλῳ περιέστη με αὐτὸς καὶ οἱ συμπαρόντες αὐτῷ, καὶ μαρτυρεῖν ἠνάγκαζον, ἵνα τὴν αὐτὴν ἔννοιαν ἔχῃ τῷ περίστατόν με ἐποίησαν. ἐν ἐνίοις δὲ ΠΑΡΆΣΤΑΣΙΝ *γράφεται.*

Περιστοιχίζεται: *Δημοσθένης Φιλιππικοῖς φησι "μέλλοντας "ἡμᾶς καὶ καθημένους περιστοιχίζεται" ἐκ μεταφορᾶς τῶν κυνηγετῶν· κατὰ γὰρ τὰς ἐκδρομὰς τῶν θηρίων ὀρθὰ ξύλα ἱστᾶσιν, ἃ καλοῦσι στοίχους ἢ στόχους, καταπεταννύντες αὐτῶν δίκτυα, ἵν' ἐὰν αὐτοὺς ἐκφύγῃ τὰ θηρία εἰς τὰ δίκτυα ἐμπέσῃ, ὡς ὑποσημαίνει Ξενοφῶν ἐν τῷ Κυνηγετικῷ. ἐν ἐνίοις μέντοι γράφεται* ΠΕΡΙΣΤΟΙΧΊΖΕΤΑΙ, *ἐν ἄλλοις δὲ καὶ* ΠΕΡΙΣΧΟΙΝΊΖΕΤΑΙ.

Περίστοιχοι: *Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον περὶ τῶν Ἀρεθουσίου ἀνδραπόδων "φυτευτήρια ἐλαῶν περιστοίχων κατέκλασεν." Δίδυμος δέ τι γένος ἐλαιῶν περιστοίχους καλεῖ, ἃς Φιλόχορος στοιχάδας προσηγόρευσε. μήποτε δὲ περιστοίχους κέκληκεν ὁ ῥήτωρ τὰς κύκλῳ περὶ τὸ χωρίον ἐν στοίχῳ πεφυκυίας.*

Πεφασμένης: *Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος ἀντὶ τοῦ*

2. *τῷ] τὸ* 3. *ἐν ἐνίοις δὲ παράστασιν ἀντὶ τοῦ περίστασιν γράφεται:*— 4. ΠΕΡΙΣΤΟΙΧΊΖΕΤΑΙ (*περιστιχίζεται* superscripto *οι* D.). *Δ. ἐν Φ. μέλλοντας ἡμᾶς φησὶ καὶ* *κ. 8. *εἰς τὰ δίκτυα ἐμπέσῃ· ἔνια μέντοι τῶν ἀντιγράφων περιστοιχίζεται ἔχει, ἄλλα δὲ περισχοινίζεται:*— 11. ΠΕΡΊΣΤΟΙΧΟΝ. *Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον· φυτευτήρια ἐλαῶν περίστοιχον κατέκλασεν Δίδυμος δέ τι γένος ἐλαῶν—μήποτε δὲ νῦν ὁ ῥήτωρ περιστοίχους κέκληκεν, τῶν κύκλῳ περὶ τὸ χωρίον ἐν στοίχῳ πεφυκότων:*— 16. ΠΕΦΑΣΜΈΝΩΣ (*πεφασμένος* D. Phot. et Suidas). *ἀντὶ τοῦ γεγενημένος Λυκοῦργος· Λυσίας δὲ πεφασμένος* navem solvere vellet, dicebatur. SAUPP. Fragm. p. 330.

1. *περιέστη με* Epitome. *περιέστη μὲν* Ald. *περιέσται μὲν* B.C. *περιέστηκεν* A. (?) N.

2. *ἠνάγκαζον* Ald. *ἢ ἀναγκάζειν* B.C. *ἠνέγκατὸν* A.

— *τῷ* Blancardus. Libri *τό*.

— *ἐποίησαν] ἐποίησεν* A. B. N. *ἐποίησε* Ald. Pluralem restituit Maussacus, qui *περίστατον μετεποίησαν* scripsit.

3. ΠΑΡΆΣΤΑΣΙΝ] *παράστασις* B.C.

— *γράφεται* A.B.C.G. *ἀντὶ τοῦ περίστασιν γράφεται* Ald.

4. *Δημοσθένης*] p. 43, 1.

— *Φιλιππικοῖς* ex Epitome pro *Φιλιππικῷ*.

6. *ἱστᾶσιν] περιστᾶσιν* C. *περιιστᾶσιν* B.G.

7. *καλοῦσι — στόχους] καλοῦνται στοῖχοι ἢ στόχοι* C.

— *ἢ στόχους] ἤγουν στοίχους* Ald.

— *δίκτυα] τὰ δίκτυα* C.

8. *ἐκφύγῃ] ἐκφεύγῃ* B.

9. *τῷ* om. C.

— *Κυνηγετικῷ*] c. 6, 5.

— *μέντοι] μὲν* B.C.

11. *Δημοσθένης*] p. 1251, 23.

12. *ἐλαῶν* C. *ἐλαιῶν* ceteri.

— *κατέκλασεν] κατέκλασαν* B.

13. *Δίδυμος—καλεῖ* om. A. *Δίδυμος—ἃς* om. B.C.

14. *δὲ* om. A. Ald. *δὲ νῦν* B.

— *τὰς—πεφυκυίας* N. Ceteri *τῶν —πεφυκότων*.

γεγενημένης. Λυσίας δ' ἐν τῷ κατὰ Θεομνήστου, εἰ γνήσιος, φησὶ "τὸ μὲν πεφασμένως ἐστὶ φανερῶς."

Πεφοριῶσθαι: Λυσίας ἐν τῇ πρὸς Πολυκράτην κατ' Ἐμπέδου ἐπιστολῇ, εἰ γνήσιος, φησὶν "ἢ τὸν ὀφθαλμὸν τὸν ἕτερον γλαυκότε-" ρον εἶναι ἢ πεφοριῶσθαι" ἐπὶ τοῦ ἀποκεκλειμένου, ὥσπερ Εὐφορίων κέχρηται τῷ ὀνόματι· εἰσὶ γάρ τινες ὀφθαλμοὶ κατακεχαλασμένα ἔχοντες τὰ βλέφαρα καὶ οἱονεὶ μύοντες. ἐὰν δὲ γράφηται πεφορινῶσθαι, εἴη ἂν πεπαχύνθαι, ἀπὸ τῆς φορίνης· ὅτι γὰρ καὶ ἐπ' ἀνθρώπων τάσσουσι τὴν φορίνην δῆλον ποιεῖ Ἀντιφῶν ἐν β' Ἀληθείας.

Πηγαί· Ἀνδοκίδης ἐν τῷ περὶ τῆς εἰρήνης, εἰ γνήσιος. Πηγαὶ τόπος ἐν Μεγάροις, ὡς ἐν δ' τῆς Ἀτθίδος φησὶν Ἑλλάνικος.

Πήληξ: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. δῆμός ἐστι τῆς Λεοντίδος Πήληκες, ὥς φησι Διόδωρος ὁ περιηγητής.

(π. om. Phot.) ἀντὶ τοῦ φανερὸς (libri Suidæ partim sic, partim πεφασμένως—φανερῶς) λέγει :—

3. Λυσίας ἢ τὸν ὀφθαλμὸν (τῶν ὀφθαλμῶν D.) 5. ἀποκεκλειμένου (ἀπακεκλεισμένου D.). Εὐφορίων—εἰσὶ δέ τινες 6. κεχαλασμένα τὰ βλέφαρα ἔχοντες 7. ἐάν τε—φορίνης. τάσσουσι γὰρ ἐπὶ ἀνθρώπων τὴν φορίνην :— 10. ΠΗΓΑΙ'—γνήσιος om. 11. Μεγάροις (Μεγάροις καὶ Βυζαντίῳ Phot.):— 12. ἐν τῷ om. (Αἰσχίνης—Κτησιφῶντος om. Phot.) δῆμος τῆς (τῆς om. Phot.) Λεοντίδος :—

1. γεγενημένης] γεγενημένου B.

— Λυσίας] p. 117, 40.

— δ' om. C.

2. μὲν] δὲ C.

3. ΠΕΦΟΡΙΩ'ΣΘΑΙ] περιφωριάσθαι C. περιφοριῶσθαι G., literis πε pro compendio præpositionis περὶ, quod frequens in codicibus est, accepto: de quo dixit Bast. ad Greg. Cor. p. 928.

— Πολυκράτην] πολυκράτη A.

4. τὸν ἀφθαλμὸν] τῶν ἀφθαλμῶν C.G.N.

5. πεφοριῶσθαι] περιφωριῶσθαι C. G.

— ἀποκεκλειμένου ex Epitome pro ἀποκεκλιμένου (ἀποκεκλιμένον Ald.)

— Εὐφορίων Epitome. ἐνφορίω A. Ald. ἐνφορείω B.N. et, ut opinor, C.

7. βλέφαρα] ὄμματα C.

— ΠΕΦΟΡΙΝΩ'ΣΘΑΙ] Hæc unice vera est scriptura ab verbo φορινοῦσθαι, *corio obduci*, ut recte judicat Meinek. Anal. Alexandr. p. 149. Et sic aut scripserunt aut scribere debuerunt qui πεφωριῶσθαι per τὸν ὀφθαλμὸν πεπαχύνθαι explicant grammatici, Lex. rhet. Bekk. p. 293, 20., Etym. M. p. 666, 34., Zonaras p. 1544.

8. εἴη ἂν] δηλοῖ τὸ N.

— γὰρ] δὲ B.

— ἀνθρώπων A.B.C.G. ἀνθρώπου Ald.

9. β'] βᵃ C. δευτέρῳ Ald.

— 'Αληθείας] περὶ ἀληθείας B.

10. 'Ανδοκίδης] p. 23, 41.

— ἐν τῷ om. C.

— γνήσιος] ὁ λόγος addit A. εἰ γνήσιος om. C.

11. δ'] τετάρτῳ Ald. τετάρτῃ C.

12. Αἰσχίνης] p. 73, 22.

Πινάκια: τὰ καθιέμενα ἀντὶ κλήρων ὑπὸ τῶν κληρουμένων. ἔοικε δ' εἶναι ταῦτα χαλκᾶ, ὡς ὑποσημαίνει Δημοσθένης ἐν τῷ περὶ τοῦ ὀνόματος. ἐν δὲ τοῖς Φιλιππικοῖς ὅταν λέγῃ "μικρὸν, ὦ Ἀθηναῖοι, "μικρὸν πινάκιον πάντα τὰ ἐνταῦθα," τυχὸν πινάκιον λέγει εἰς ὃ ἐγγράφεται τὰ ἐγκλήματα τὰ κατὰ τῶν εἰσαγγελλομένων, ὡς καὶ παρὰ Δεινάρχῳ ἐν συνηγορίᾳ Αἰσχίνῃ δείκνυται.

Πιτθεύς: δῆμος τῆς Κεκροπίδος ἢ Πιτθός.

Πλειστηριάσαντες: ἀντὶ τοῦ ὑπερβαλόντες ἐν τῇ τιμῇ τῶν πιπρασκομένων Λυσίας ἐν τῷ πρὸς Ἀνδοκίδην, εἰ γνήσιος. κέχρηται τῷ ὀνόματι καὶ Πλάτων ὁ κωμικὸς ἐν Γρυψίν.

Πληρωτής: Δημοσθένης κατ' Ἀριστογείτονος. πληρωτὰς ἐκάλουν τοὺς ἀποδιδόντας τὸν ἔρανον τοῖς ἤτοι λαχοῦσιν ἢ ἐωνημένοις. εἶεν δ' ἂν οὗτοι οἱ παρ' ἡμῖν καλούμενοι ἐρανάρχαι. τὸ δὲ πληρωτής

1. Hanc gl. post proximam ponit. ΠΙΝΑ'ΚΙΑ. τὰ καθιέμενα ἀντὶ κλήρων ὑπὸ τῶν κληρονόμων. ἔοικεν δὲ εἶναι ταῦτα (ταῦτα εἶναι Phot. et Suidas) 3. ὅταν λέγῃ ὁ ῥήτωρ· μικρὸν, ὦ (ἄνδρες addit Phot.) Ἀθηναῖοι, 4. πάντα τὰ ἐνταῦθα om. 5. τὰ ἐγκλήματα κατὰ τῶν εἰσαγγελλομένων:— 7. Πιτθός] Πιτθίς:— 8. ΠΛΕΙΣΤΗΡΙΑ'ΣΑΝΤΕΣ. ἀντὶ τοῦ ὑπερβαλλόντες (hoc accentu, qui est etiam in cod. Photii, altero λ punctis notato, quo significatur ὑπερβαλόντες, ut est in D. et apud Suidam) ἐν τῇ τιμῇ τῶν πιπρασκομένων. οὕτως Λυσίας καὶ Πλάτων ὁ κωμικός:— 13. ἐρανάρχαι:—

1. ΠΙΝΑ'ΚΙΑ] πινάκια. περὶ ὀνόματος εἴρηκε A. πινάκια. πιτθεὺς δῆμος τῆς κεκροπίδος ἢ πιτθός. περὶ ὀνόματος εἴρηκε B.

— τὰ—ὑποσημαίνει om. C.

— ὑπὸ τῶν κληρουμένων Valcken. ad Herodot. 3, 128. ὑπὸ τῶν κληρούντων Valesius. Legebatur ὑπὸ τῶν κληρονόμων. quæ verba om. A. In N. est τοῖς κληρουμένοις haud dubie ex conjectura correctoris.

2. ὡς—ἐν δὲ τοῖς] ὡς ἑξῆς σημαίνει ὁ ῥήτωρ. ἐν δὲ τοῖς A.B.

— Δημοσθένης] p. 998, 4.

— ἐν τῷ—ὀνόματος om. C.

3. δὲ τοῖς om. C.

— Φιλιππικοῖς] p. 96 extr. ubi est—ταῦτα πάντα κωλῦσαι δύναιτ' ἄν. Unde Schæferus ad Demosth. vol. 1. p. 511. apud Harpocrationem τὰ in ταῦτα mutari, ἐνταῦθα vero ad verba grammatici referri voluit.

— ἀθηναῖοι A.B.C.G. ἄνδρες ἀθηναῖοι Ald.

4. πάντα—πινάκιον om. B.

— τυχὸν π. λέγει] ἔοικε λέγειν π. N.

6. Αἰσχίνῃ] αἰσχύνῃ A. αἰσχίνου B. Ald.

7. Hanc gl. in B. legi in initio præcedeutis glossæ post lemma πινάκια modo diximus. Post gl. πολέμαρχος reperitur in A. Plane deest in C. et Ald. Ex codice (Morelli) primum edidit Maussacus, habetque Epitome.

— Πιτθός A. B. Ceteri Πιτθός, quæ forma est ap. schol. Platon. p. 2. (325. Bekk.) Πίθος posuit Steph. Byz., quemadmodum in inscriptionibus non solum Πιτθεύς, sed etiam Πιθεύς reperitur, de quo dixi in Thesauro vol. 6. p. 1074.

8. τῇ om. B.C.

9. γνήσιος] ὁ λόγος addit A.

11. Δημοσθένης] p. 776, 7.

— κατ'] ἐν τῷ κατ' B.C.

13. δ' om. A.B. Ald.

ὄνομα καὶ ἐν τῷ κατὰ Μειδίου, καὶ ἐν τῷ κατὰ τῶν Πατροκλέους παίδων Δεινάρχου.

Πλινθεῖον: ὁ τόπος ἐν ᾧ πλίνθος πλάττεται· Λυσίας ἐν τῷ κατὰ Λυσιθέου.

Πλυντήρια: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ἑορτὴ παρ' Ἀθηναίοις.

Πλωθεύς: Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει. Πλωθειὰ δῆμος τῆς Αἰγηΐδος, ὅθεν ὁ δημότης Πλωθεύς.

Ποδοστράβη: Ὑπερείδης ἔν τε τῷ κατ' Ἀθηνογένους καὶ ἐν τῷ κατ' Αὐτοκλέους. ποδοστράβας ἔλεγον μηχανήματά τινα ὑπὸ τῶν κυνηγετῶν κατασκευαζόμενα, εἰς ἃ τὰ θηρία ἐμβαίνοντα ἡλίσκετο. διείλεκται Ξενοφῶν περὶ τῆς κατασκευῆς αὐτῶν ἐν τῷ περὶ κυνηγετικῶν καὶ τῆς χρήσεως.

Ποδοκάκκη: Δημοσθένης κατὰ Τιμοκράτους. τὸ ξύλον τὸ ἐν τῷ δεσμωτηρίῳ οὕτως ἐκαλεῖτο, ἤτοι παρεμβεβλημένου τοῦ ἑτέρου κ, ποδῶν τις κάκωσις οὖσα, ἢ κατὰ συγκοπὴν, ὥς φησι Δίδυμος, οἷον ποδοκατοχή. Λυσίας δ' ἐν τῷ κατὰ Θεομνήστου, εἰ γνήσιος, ἐξηγεῖται τοὔνομα· φησὶ γὰρ "ἡ ποδοκάκκη αὐτό ἐστιν ὃ νῦν καλεῖται ἐν "τῷ ξύλῳ δεδέσθαι."

Πολιτεία: ἰδίως εἰώθασι τῷ ὀνόματι χρῆσθαι οἱ ῥήτορες ἐπὶ τῆς

3. ἐν ᾧ πλίνθοι πλάττονται. οὕτω Λυσίας :— 5. ΠΛΥΝΤΗΡΙΑ. ἑορτὴ Ἀθηναίων :— 7. Δ.—ἐφέσει om. Πλωθία (Πλωθεία Phot.) δῆμος τῆς Αἰγηΐδος καὶ ὁ δημότης Πλωθεύς :— 9. ΠΟΔΟΣΤΡΑΒΗ. ποδοστράβας— ἡλίσκετο· οὕτως Ὑπερίδης καὶ Ξενοφῶν :— 16. ἢ κατὸ συγκοπὴν, ὡς Δίδυμος, οἷον ποδοκατοχή :—

1. καὶ post ὄνομα om. B.
— κατὰ Μειδίου] p. 547, 18. 574, 22.
— τῶν (τῶν om. C) Πατροκλέους] τῶν προκλέους A.B. τῶν πρoκλέους Ald.
2. Δεινάρχου Bekkerus. Libri Δείναρχος.
3. πλίνθος] ἡ πλίνθος Ald.
7. Δημοσθένης] p. 1310.
— τῇ] τῷ B.
— Πλωθειὰ] πλωθεῖα A.B.C. Ald.
9. καὶ ἐν] ἐν om. A.B.
— τῷ om. A.
11. κυνηγετῶν] κυνηγετικῶν A.
— ἐμβαίνοντα] ἐσβαίνοντα A. Ald. om. C.
— ἡλίσκετο] ἡλίσκοντο B.C.
12. Ξενοφῶν] Cyneg. 9. 11.
— περὶ τῆς κ.] ἐπὶ κ. C.
— ἐν] καὶ τῶν ἐν C.
— περὶ] κατὰ A.B.C.
14. Δημοσθένης] p. 733, 6.
15. τῷ additum ex Epitome.
17. ποδοκατοχή] ποδοκαταδοχήν C.
— Λυσίας] p. 117, 32.
— δ' om. B.C.
— γνήσιος] ὁ λόγος addit A.

δημοκρατίας, ὥσπερ Ἰσοκράτης τε ἐν τῷ Πανηγυρικῷ καὶ Δημοσθένης ἐν Φιλιππικοῖς.

Πολέμαρχος: Ἰσαῖος ἐν ἀπολογίᾳ ἀποστασίου πρὸς Ἀπολλόδωρον. ἀρχή τις ἦν παρ' Ἀθηναίοις οὕτω καλουμένη, ἔστι δὲ εἷς τῶν θ' ἀρχόντων. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διεξελθὼν ὅσα διοικεῖ ὁ πολέμαρχος, "πρὸς ταῦτα" φησιν "αὐτός τε εἰσάγει δίκας "τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλή-"ρων τοῖς μετοίκοις, καὶ τἆλλα ὅσα τοῖς πολίταις ὁ ἄρχων, ταῦτα "τοῖς μετοίκοις ὁ πολέμαρχος." εἰκότως οὖν ὁ ῥήτωρ ἐν τῷ προειρημένῳ λόγῳ ἐγγυῆσαί φησι πρὸς τῷ πολεμάρχῳ Ἀπολλόδωρον· ὁ γὰρ Ἀπολλόδωρος Σάμιος τὸ γένος μέτοικος ἦν. ὅτι δὲ καὶ κύριον ὄνομα ὁ Πολέμαρχος τοῦ Λυσίου ἀδελφὸς αὐτός τε ὁ Λυσίας ἐν τῷ κατ' Ἐρατοσθένους καὶ Πλάτων ἔν τε τῷ α' τῆς Πολιτείας καὶ ἐν Φαίδρῳ φησίν.

1. *δημοκρατίας. καὶ Ἰσοκράτης ἐν Πανηγυρικῷ καὶ* 3. ΠΟΛΕ'ΜΑΡΧΟΣ. *ἀρχὴ τίς ἐστιν παρ'—ἔστιν δὲ οὗτος εἷς* 4. *ἔστι δὲ οὗτος εἷς τῶν θ' ἀρχόντων· διοικεῖ δὲ οὗτος ἄλλα τε καὶ εἰσάγει δικαστάς τε (δίκας τάς τε* Phot. et Suidas) *τοῦ ἀποστασίου, καὶ ἀπροστασίου (καὶ ἀπροστασίου* om. D.), *καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις, καὶ τἆλλα ὅσα τοῖς πολίταις ὁ ἄρχων ἔστι, ταῦτα τοῖς μετοίκοις ὁ πολέμαρχος. ἔστιν δὲ καὶ κύριον ὄνομα, ὁ τοῦ Λυσίου ἀδελφός :—*

1. *Ἰσοκράτης*] p. 67 a.

— *τῷ* om. B.C.

— *Δημοσθένης*] p. 10, 21.

2. *ἐν Φ.*] *ἐν τοῖς φ.* A. Ald.

4. *οὕτω*—*Ἀθηναίων* om. B. et in lacuna C.

6. *πολέμαρχος :*— C.

— *αὐτός τε*] Ex verbis Aristotelis ut hic leguntur non apparet cur *αὐτός τε* dictum sit, nec satisfacit Sauppii (Fragm. p. 228.) conjectura *αὐτοῖς τε* (h. e. Atheniensibus). Ego, nisi præcederet *πρὸς ταῦτα*, quod ipsum quoque suspectum est, non dubitarem *οὗτος δέ εἰσάγει*— corrigere, quum hoc ipsum supra legatur s. v. *ἀποστασίου*, ubi Harpocratio verba *οὗτος δὲ*—*ἐπικλήρων* eodem e loco Aristotelis apposuit.

— *δίκας τάς τε*] *δικαστάς τε* A. Ald. et *τε* omisso N. *καὶ δικαστάς τε* B. Recte scriptum s. v. *ἀποστασίου* : unde correxit Blancardus.

7. *ἀπροστασίου καὶ ἀποστασίου* N. *καὶ ἀπροστασίου* om. B.

— *καὶ κλήρων*] *καὶ τὰς τῶν κλήρων* Sauppius.

8. *καὶ τἆλλα*—*μετοίκοις* om. B.

9. *οὖν*—*ἐν τῷ* om. A.B.

10. *ἐγγυῆσαι*] *κατεγγυῆσαι* Meier. de lite Attica p. 55.

— *Ἀπολλόδωρον* om. A. et in lacuna Ald. *Ἀπολλόδωρον. ὁ γὰρ* om. B. Nomen supplevit Maussacus ex suo, ut videtur, codice.

11. Inter *γὰρ* et *Σάμιος* lacuna in A., quam explevi addito *Ἀπολλόδωρος*, ut fecit Sauppius. Nam aut repeti nomen debebat aut dici *ὃς Σάμιος τὸ γένος μέτοικος ἦν*.

— *καὶ* om. B.

12. *Λυσίας*] p. 122, 20. 27.

13. *Πολιτείας*] p. 327 b.

14. *Φαίδρῳ*] p. 257 b.

Πολίοχος καὶ Πολυάλκης: ὀνόματα κύρια.

Πομπείας καὶ πομπεύειν: ἀντὶ τοῦ λοιδορίας καὶ λοιδορεῖν Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. μεταφέρει δὲ ἀπὸ τῶν ἐν ταῖς Διονυσιακαῖς πομπαῖς ἐπὶ τῶν ἁμαξῶν λοιδορουμένων ἀλλήλοις· Μένανδρος Περινθίᾳ

ἐπὶ τῶν ἁμαξῶν εἰσι πομπεῖαί τινες
σφόδρα λοίδοροι.

πομπεῖα δὲ λέγεται τὰ εἰς τὰς πομπὰς κατασκευαζόμενα σκεύη, ὡς ὁ αὐτὸς ῥήτωρ κατ' Ἀνδροτίωνος ὑποσημαίνει. "πομπείοις δέ" φησι Φιλόχορος "πρότερον ἐχρῶντο οἱ Ἀθηναῖοι τοῖς ἐκ τῆς οὐσίας "τῶν λ' κατασκευασθεῖσιν. ὀψὲ δέ" φησι "καὶ Ἀνδροτίων ἄλλα "κατεσκεύασεν."

Πόριος: Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει. Πόρος ἐστὶ δῆμος τῆς Ἀκαμαντίδος· ὁ δὲ δημότης Πόριος.

1. ΠΟΛΥΑ'ΛΚΗΣ] Πολυαλκής (Πολυάκης Phot. et Suidas.) 3. μεταφέρει] ἡ μεταφορὰ 7. λοίδοροι :— 8. ΠΟΜΠΕΙ͂Α. λέγεται πομπεῖα καὶ τὰ εἰς πομπὰς κατασκευαζόμενα (κατασκευασμένα D.) σκεύη, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τοῖς κατὰ Ἀνδροτίωνος ὑποσημαίνει· Φιλόχορος δέ φησιν ὡς πρότερον (πρώτερον E.T. πρῶτον libri meliores Suidæ) ἐχρῶντο οἱ Ἀθηναῖοι τοῖς ἐκ τῆς οὐσίας τῶν λ' κατασκευασθεῖσιν· ὀψὲ δὲ (δὲ om. Phot.) καὶ Ἀνδροτίων ἄλλα κατεσκεύασεν :— 13. ΠΟ'ΡΙΟΣ] Πόρος. Πόρος ἐστὶ δῆμος] δῆμός ἐστι 14. Ἀκαμαντίδος ὁ Πόρος. καὶ ὁ δημότης Πόριος :—

1. om. C.

— ΠΟΛΙ'ΟΧΟΣ] πολίουχος A. et libri quidam Suidæ.

— ΠΟΛΥΑ'ΛΚΗΣ Bekkerus pro Πολυαλκής. Poliochus est apud Lysiam in oratione κατὰ τοῦ Πολιούχου p. 150, 26. ubi liber optimus πολίσχος, alius πολίαχος, Stephanus Πολίαρχος; Polyalces Isocratis Epist. 6. p. 418. ubi vulgo Πολυάκους, codex Urbinas πολυαλκοῦς, quod scribendum Πολυάλκους.

3. Δημοσθένης] p. 229, 3. 268, 25.

— μεταφέρει codices. ἡ μεταφορὰ Ald., quod ex Suida sumtum videtur, qui Epitomes scripturam sequitur.

— ταῖς additum ex Epitome.

4. ἀλλήλοις] ἀλλήλαις B.C.

8. δὲ om. B. et Epitome.

9. ὡς Epitome. καὶ A. B. C. ὡς καὶ Ald.

— κατ'] ἐν τῷ κατ' C.

— κατ' Ἀνδροτίωνος] p. 608, 4. 615, 2. 618, 4.

10. τοῖς additum ex Epitome.

11. κατασκευασθεῖσιν ex Epitome pro κατασκευασθεισῶν.

13. Δημοσθένης] Non legitur apud Demosthenem, quod notavit Taylor. vol. 7. p. 1333. ed. meæ.

— τῇ] τῷ B.

14. Πόριος] His Ald. adjunxit longiorem de vocabulo πόρος expositionem καὶ πόρος, πέρας, ἢ ποταμὸς usque ad verba τοῦ ὑδατικοῦ πόρου, ex Suida transcriptam s. v. πόρος.

Πορθμός: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. πόλις ἐστὶ τῆς Εὐβοίας.

Πολύγνωτος: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. περὶ Πολυγνώτου τοῦ ζωγράφου, Θασίου μὲν τὸ γένος, υἱοῦ δὲ καὶ μαθητοῦ Ἀγλαοφῶντος, τυχόντος δὲ τῆς Ἀθηναίων πολιτείας ἤτοι ἐπεὶ τὴν Ποικίλην στοὰν ἔγραψε προῖκα, ἢ ὡς ἕτεροι, τὰς ἐν τῷ Θησείῳ καὶ τῷ ἀνακείῳ γραφὰς, ἱστορήκασιν ἄλλοι τε καὶ Ἀρτέμων ἐν τῷ περὶ ζωγράφων καὶ Ἰόβας ἐν τοῖς περὶ γραφικῆς.

Πολύστρατος: Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, εἰ γνήσιος. Πολύστρατος αἰτίαν ἔχων τοὺς Ἑρμᾶς περικόψαι ἀνῃρέθη ὑπὸ Ἀθηναίων. ἕτερος δ' ἂν εἴη Πολύστρατος ὑπὲρ οὗ λόγος ἐστὶ Λυσίᾳ ἐπιγραφόμενος 'ὑπὲρ Πολυστράτου δήμου καταλύσεως ἀπολογία.' ἄλλος δ' ἂν εἴη Πολύστρατος οὗ Δημοσθένης μνημονεύει ἐν Φιλιππικοῖς, λέγων αὐτόν ποτε ἐν Κορίνθῳ ξενικὸν τρέφειν. μήποτε μέντοι ἐνταῦθα δεῖ γράφειν Πολύτροπον ἀντὶ τοῦ Πολυστράτου· παρὰ μηδενὶ γάρ φησιν ὁ Δίδυμος εὑρηκέναι τὸν Πολύστρατον ἡγησάμενον

3. ΠΟΛΥΓΝΩΣΤΟΣ. οὗτος ζωγράφος μὲν ἦν τὴν τέχνην, Θάσιος δὲ τὸ γένος· υἱὸς δὲ καὶ μαθητὴς Ἀγλαοφῶντος· τυχὼν δὲ τῆς Ἀθηναίων πολιτείας, ἢ ἐπεὶ τὴν ποικίλην στοὰν ἀνέγραψε προῖκα, ἢ, ὡς ἔνιοι, τὰς ἐν τῷ θησαυρῷ καὶ τὰς ἐν Ἀνακείῳ γραφάς :— 9. ΠΟΛΥΣΤΡΑΤΟΣ. οὗτος αἰτίαν ἔχων τὰς ἑρμὰς (sic etiam Phot ; τοῦ Ἑρμᾶς Suidas) 10. Ἀθηναίων. οὗ Λυσίας μέμνηται. ἕτερος δέ ἐστιν ὑπὲρ οὗ λόγον ἔγραψεν ὁ αὐτὸς Λυσίας. ἄλλος δ' ἂν εἴη οὗ μνημονεύει Δημοσθένης ἐν Φιλιππικοῖς λέγων 15. τοῦ om. (habent Phot. et Suidas)

1. ΠΟΡΘΜΟΣ] πορθμεύς D. et Ald.
— Δημοσθένης] p. 248, 15.
4. τοῦ om. B., μὲν om. C.
6. ἔγραψε Valcken. ad Theocriti Adoniaz. p. 374. Libri et Epitome ἀνέγραψε.
— Θησείῳ cum Valcken vel Θησέως ἱερῷ cum Reinesio Boeckh. Œc. vol. 1. p. 576. Legebatur θησαυρῷ.
7. Ἀρτέμων] Videtur Artemonem Cassandrensem dicere, de quo v. Mueller. Fragm. Hist. vol. 4. p. 313.
— τῷ] τοῖς C.
8. Ἰόβας] ἰώβας A.
9. γνήσιος] ὁ λόγος addit A.
10. τοὺς] τοῦ C.
11. λόγος] ὁ λόγος B.C.
13. οὗ Epitome. Libri οὗ καὶ.
13. Δημοσθένης] p. 46, 20.
— μνημονεύει] μέμνηται C.
— Φιλιππικοῖς Epitome. Libri τοῖς Φιλιππικοῖς.
14. μήποτε μέντοι] μηδὲ C.
— Πολύτροπον] Hanc conjecturam refutavit Sauppius in annotatione ad locum Demostbenis.
15. τοῦ additum ex solo C.
— παρὰ—τὸν Πολύστρατον om. B.C.
P. 255. 1. τὸν Πολύτροπον—ἦν ὁ Πολύτροπος] Hæc verba si scripsit Harpocratio, de quo dubitat Sauppius l. c., quodammodo suam ipse conjecturam postmodum refutavit. Legit ea Epitomes auctor, qui absurdo modo compendifecit.

τοῦ ἐν Κορίνθῳ ξενικοῦ. τὸν Πολύτροπον μὲν οὖν ἐν τῇ ϛʹ τῶν Ἑλληνικῶν Ξενοφῶντος εὗρον· ἀλλ' οὔτε τὸ ξενικὸν τοῦτο ἔφησεν ὁ Ξενοφῶν τρέφεσθαι ὑπ' Ἀθηναίων οὔτε αὐτὸς Ἀθηναῖος ἦν ὁ Πολύτροπος.

Ποσειδεών· Ὑπερείδης ἐν τῷ κατὰ Μαντιθέου. ὁ ϛʹ μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται.

Ποταμός· Λυσίας ἐν τῷ κατὰ Νικίδου ἀργίας. Ποταμὸς δῆμος τῆς Λεοντίδος, οὗ ὁ δημότης Ποτάμιος. ἐκωμῳδοῦντο δὲ ὡς ῥᾳδίως δεχόμενοι τοὺς παρεγγράπτους, ὡς ἄλλοι τε δηλοῦσι καὶ Μένανδρος ἐν Διδύμαις.

Προβαλλομένους: ἀντὶ τοῦ ὑποτιθεμένους, οἷον πρὸ τῆς πράξεως εἰς τὸν νοῦν ἐμβαλλομένους, ὡς Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ἔν τε τῷ κατ' Αἰσχίνου τὴν προαίρεσιν τῆς πολιτείας προβεβλημένην καὶ ἄπιστον εἶπεν ἀντὶ τοῦ εὐλαβῶς ἔχουσαν καὶ φυλαττομένην. ἐν δὲ τῷ ὑπὲρ Κτησιφῶντός φησι "προβληθεὶς πυλάγορος οὕτω καὶ "τριῶν ἢ τεττάρων χειροτονησάντων αὐτόν." ἐν δὲ τῷ κατὰ Μειδίου "καὶ προὐβαλόμην" φησὶν "ἀδικεῖν τοῦτον περὶ τὴν ἑορτήν" ἀντὶ τοῦ προβολῇ ἐχρησάμην τῇ συνήθει καὶ νομιζομένῃ κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων, [ὠνόμασα τοῦτον ἐν τῷ δήμῳ]. ἐν δὲ τοῖς

1. ξενικοῦ. τὸν μέντοι Πολύτροπον Ἀθηναῖον (ἀθηναίων Suidæ cod. Paris.) εἶναι :— 5. ΠΟΣΕΙΔΕΩ'Ν. ἕκτος μὴν—καλούμενος :— 7. ΠΟΤΑΜΟ'Σ.—ἀργίας om. Ποταμοὶ δῆμος 9. τοὺς παρεγγράφους :— 11. ὑποτιθεμένους] προτιθεμένους D. πράξεως εἰς τὸν νοῦν ἐμβαλλομένους, ὡς (ὁ Phot. et Suidas) Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος καὶ τῷ κατ' Αἰσχίνου, τὴν προαίρεσιν, φησὶν, τῆς πολιτείας προβεβλημένην καὶ ἄπιστον εἶπεν (εἰπεῖν Phot. et Suidas) ἀντὶ τοῦ εὐλαβῶς ἔχουσαν καὶ φυλαττομένην· ἐν δὲ τῷ κατὰ Μειδίου (μηδίου E.T.) καὶ προὐβαλόμην (προβαλούμην E.T. Phot. et libri quidam Suidæ), φησὶν, ἀδικεῖν τοῦτον περὶ τὴν ἑορτὴν, ἀντὶ τοῦ προβολῇ ἐχρησάμην τῇ συνήθει καὶ νομιζομένῃ κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων. ἐν

1. Πολύτροπον] πολύστρατον A.
— ϛʹ] ηʹ A., om. B. C. ὀγδόῃ Ald. ἕκτῃ Maussacus. Est 6, 5, 11.
2. ὁ Ξενοφῶν om. C.
5. ὁ om. A.
7. Νικίδου] νικήδου C.
— δῆμος (ὁ δῆμος B.) om. A.
9. παρεγγράπτους] παρεγγράφους B.C.N. et Epitome.
10. ἐν] ἐν ταῖς A.B. Ald.
11. ὑποτιθεμένους] ὑπερτιθ. B.C.
12. ὡς] ὁ A. om. B.C.
— Δημοσθένης] p. 258, 23.
12. ὑπὲρ] ἐν τῷ ὑπὲρ C.
13. κατ' Αἰσχίνου] p. 349, 15.
15. ὑπὲρ Κτησιφῶντος] p. 277, 1.
— οὕτω] οὗτος N.
17. προὐβαλόμην — τοῦτον] προυβαλλόμην (sic etiam Ald.) φησὶν τοῦτον ἀδικεῖν B.
19. ὠνόμοσα Blancardus. ὠνόμασαν libri. ὀνομάσας Bekkerus, nisi, quod non improbabile, totum hoc ὠνόμασα τοῦτον ἐν τῷ δήμῳ omittendum sit, ut factum in Epitome.
— τῷ om. C.

Φιλιππικοῖς φησι "προβάλλεσθαι δ' ἢ βλέπειν ἐναντίον οὔτε οἶδεν "οὔτε ἐθέλει" ἀντὶ τοῦ προτείνειν τὰς χεῖρας ὡς εἰς μάχην.

Προβολάς: ἀντὶ τοῦ ἀσφαλείας ἐκ πόλεων ἢ τειχῶν ἢ τινων ἄλλων δυνάμεων ἐπὶ σωτηρίᾳ καὶ κράτει γιγνομένων Δημοσθένης ἐν τῷ περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν, εἰ γνήσιος. παρὰ δ' Αἰσχίνῃ ἐν τῷ περὶ τῆς πρεσβείας ἡ προβολὴ τοὔνομα γέγονεν ἀπὸ τοῦ προβάλλεσθαί τινα ἀδικεῖν.

Προβούλευμα: τὸ ὑπὸ τῆς βουλῆς ψηφισθὲν πρὶν εἰς τὸν δῆμον εἰσενεχθῆναι· Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου.

Προβόλιον: εἶδος δόρατος, ᾧ χρῶνται οἱ κυνηγέται πρὸς τὴν τῶν συῶν θήραν. Ὑπερείδης ἐν τῷ περὶ τῆς φυλακῆς τῶν Τυρρηνῶν τροπικῶς ἐκ μεταφορᾶς ἐχρήσατο τῷ ὀνόματι. ὅτι δὲ δόρυ τι σημαίνει πολλάκις ἔστι μαθεῖν ἐκ τοῦ Ξενοφῶντος Κυνηγετικοῦ.

Πρόβολοι: αἱ εἰς θάλατταν προκείμεναι πέτραι καὶ οἷον ἀκταί τινες· Δημοσθένης ἐν Φιλιππικοῖς.

Πρόεδροι: ἐκληροῦντο ὑπὸ τῶν πρυτάνεων καθ' ἑκάστην ἐκκλη-

δὲ τοῖς Φιλιππικοῖς φησὶ, προβάλλεσθαι δὴ (δὴ om. Suidæ codex Leid.) βλέπειν ἐναντίον, οὔτε οἶδεν οὔτε ἐθέλοι, ἀντὶ τοῦ προτείνειν τὰς χεῖρας ὡς εἰς μάχην:— 3. ΠΡΟΒΟΛΑ'Σ. ἀντὶ—γινομένων. οὕτω Δημοσθένης· παρὰ δὲ Αἰσχίνῃ ἡ πρυβολὴ τοὔνομα γέγονεν ἀπὸ τοῦ προβάλλεσθαι τινὰ ἀδικεῖν:— 10. εἶδός τι δόρατος, ὃ (ᾧ Z. Phot. et Suidas) χρῶνται—πρὸς τῇ τῶν συῶν θήρᾳ (τὴν—θήραν Suidas):— 14. αἱ εἰς θάλατταν (θάλασσαν Phot. et Suidas) 16. ΠΡΟ'ΕΔΡΟΙ. ἐκληροῦντο τῶν πρυτανέων (ἐκλήρουν τὴν τῶν πρυτάνεων Suidas) καθ' ἑκάστην πρυτανείαν εἷς ἐξ ἑκάστης φυλῆς, πλὴν τῆς πρυτανευού-

1. Φιλιππικοῖς] p. 51, 27.
— φησὶ om. C.N.
— προβάλλεσθαι] προβαλέσθαι A.
— δ' ἢ] δὴ A.B. Ald. δεῖ C.N.
— οἶδεν] εἶδεν A.B.C.
2. ὡς om. B.C.
4. σωτηρίᾳ] ἀσφαλείᾳ C.
— Δημοσθένης] p. 218, 21.
5. περὶ τῶν πρὸς Ἀλέξανδρον] περὶ τῶν ἀλεξάνδρου C. περὶ τοῦ ἀλεξάνδρου B.
— συνθηκῶν] ξυνθηκῶν C.
— γνήσιος] ὁ λόγος addit A.
— Αἰσχίνῃ] p. 47, 26.
6. τοὔνομα om. B.C.
8. εἰς] ἐς A.
9. Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου] Immo ὑπὲρ Κτησιφῶντος p. 228, 6.
11. συῶν] θηρῶν C.
— Τυρρηνῶν] Vide quæ s. v. κομιστικὰ πλοῖα dicta sunt.
12. τροπικῶς Valesius. τροπικῶν libri, quod fortasse delendum.
13. Κυνηγετικοῦ] c. 10, 1. et 3.
14. θάλατταν προκείμεναι Epitome. Libri θάλασσαν ἐγκείμεναι.
15. Δημοσθένης] p. 104 extr.
— ἐν om. A. Ald.
16. ἐκληροῦντο—ἐκκλησίαν] Libri et Epitome ἐκληροῦντο τῶν πρυτάνεων καθ' ἑκάστην πρυτανείαν. Ex glossa simili in Lex. rhet. Bekk. p. 290, 10. correxit Luzac. de Socrate cive p. 98. probante Schœmanno de comit. Ath. p. 86. (plagula F.) et p. 85 (plagula G).

σίαν, εἷς ἐξ ἑκάστης φυλῆς πλὴν τῆς πρυτανευούσης, οἵτινες τὰ περὶ τὰς ἐκκλησίας διῴκουν. ἐκαλοῦντο δὲ πρόεδροι, ἐπειδήπερ προήδρευον τῶν ἄλλων ἁπάντων. πολλάκις δ' ἐστὶ τοὔνομα παρὰ τοῖς ῥήτορσιν, ὡς καὶ παρὰ Δημοσθένει ἐν τῷ κατ' Ἀνδροτίωνος καὶ Αἰσχίνῃ ἐν τῷ κατὰ Κτησιφῶντος. ὅτι δ' ὁ καλούμενος ἐπιστάτης κληροῖ αὐτοὺς εἴρηκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Προηροσία: Ὑπερείδης Δηλιακῷ. ὄνομα θυσίας.

Προθεσμίας νόμος: Δημοσθένης ὑπὲρ Φορμίωνος. τὴν τῶν ε' ἐτῶν ἂν λέγοι προθεσμίαν ὁ ῥήτωρ, ὡς ἐν τῷ λόγῳ ὑποσημαίνει, καὶ Λυσίας ἐν τῷ πρὸς Μενέστρατον, εἰ γνήσιος ὁ λόγος ἐστίν.

Πρόκλησις: εἰώθεσαν, ὁπότε δικάζοιντό τινες, ἐξαιτεῖν ἐνίοτε θεραπαίνας ἢ θεράποντας εἰς βάσανον ἢ εἰς μαρτυρίαν τοῦ πράγματος, καὶ τοῦτο ἐκαλεῖτο προκαλεῖσθαι, τὸ δὲ γραμματεῖον τὸ περὶ τούτου γραφόμενον ὠνομάζετο πρόκλησις. παρὰ πολλοῖς δέ ἐστι ῥήτορσι. Δημοσθένης δ' ἐν τῷ κατὰ Στεφάνου καὶ περὶ ὧν πρόκλησις γίνεται δηλοῖ.

Προκώνια: Λυκοῦργος κατὰ Μενεσαίχμου. Δίδυμος "προ-"κώνιά" φησίν "ἐστι πυροὶ μέλιτι κεχρισμένοι." Ἀριστοφάνης δ' ὁ γραμματικὸς καὶ Κράτης τὰ ἐξ ἀφρύκτων κριθῶν οὕτω φασὶν ὀνο-

σης, οἵτινες τὰ περὶ τὰς ἐκκλησίας (τὴν ἐκκλησίαν meliores libri Suidæ) διῴκουν. ἐκαλοῦντο δὲ πρόεδροι, ἐπειδήπερ προήδρευον τῶν ἄλλων ἁπάντων. ὅτι δὲ ὁ καλούμενος ἐπιστάτης κληροῖ αὐτοὺς εἴρηκεν Ἀ. ἐν Ἀθηναίων πολιτείᾳ :— 7. ΠΡΟΗΡΟΣΙ'Α] προηροσίαι D. et Phot. προηρόσια Suidas. Ὑ. Δηλιακῷ om. 8. ΝΟ'ΜΟΣ (νόμους Phot.)—προθεσμίαν :— 11. ΠΡΟ'ΚΛΗΣΙΣ. εἰώθεσαν ὁπότε δικάζοιντο τινὲς, ἐξαιτεῖν ἐνίοτε θεραπαίνας ἢ θεράποντας (θεράποντας ἢ θεραπαίνας Phot.) εἰς βάσανον 14. ὠνομάζετο πρόκλησις :— 17. ΠΡΟΚΩ'ΝΙΑ (προκωνία E.T. Sic et paullo post, sed infra προκώνια). Λυκοῦργος (ἐν τῷ addit D.) κατὰ Μενεσαίχμου· Δίδυμος δὲ προκώνια, φησὶ, πυροὶ μέλιτι κεχρημένοι (κεχρισμένοι Phot. κεχρημένοι Suidas).

2. τὰς ἐκκλησίας Epitome et Lex. rhet. l. c. Libri τὴν ἐκκλησίαν.

4. ὡς om. B.C.

— Δημοσθένει] p. 596.

— Αἰσχίνῃ] p. 59, 13.

7. ΠΡΟΗΡΟΣΙ'Α] Vel προηρόσια. Nam utriusque formæ exempla reperiuntur, de quibus dictum in Thesauro vol. 6. p. 1713. Ceterum conf. quæ s. v. Ἄβαρις dicta sunt. Totam gl. om. C.

8. Δημοσθένης] p. 952, 19.

— ε' om. N.

